Percuſſit propria manu,
Securim manu corripiens: miſer
Maritus, quod unquam iſtam infelicem
Habuerit peſtem;

EPODUS.

Quae veluti montana leaena, lucorum

ΕΠΩΔΙΚΑ.

ΣΤΡΟΦΗ.

Χ. Ἀμοιβαὶ κακῶν· μετάτροποι πνέυ-
σιν αὖραι δόμων· τότε μὲν λυτρᾶις
Ἔπεσεν ἐμὸς, ἐμὸς ἀρχέτας,
Ἰάχησα δὲ ϛέγα,
Λάϊνοί τε θριγκοὶ δόμων,
Τάδ' ἐννέποντος· ὦ
Σχετλία τί με, γύναι, φονεύεις, φίλαν
Πατρίδα δεκέτισιν ἐν σποραῖ-
σιν ἐλθόντ' ἐμάν;

ΑΝΤΙΣΤΡΟΦΗ.

Παλίῤῥυς δὲ τάνδ' ὑπάγεται δίκα
Διαδρόμυ λέχυς μελέαν· ἃ πόσιν,
Χρόνιον ἱκόμενον εἰς οἴκυς,
Κυκλώπειά τ' οὐράνια
Τείχε', ὀξυθήκτῳ βέλει
Ἔκανεν αὐτόχειρ,
Πέλεκυν ἐν χεροῖν λαβῦσα· τλάμων
Πόσις ὅτι ποτὲ ταν τάλαι-
ναν ἔσχε κακόν.

ΕΠΩΔΟΣ.

Ὀρεί' ἅτις ὡς λέαιν', ὀργάδων

Δρύοχα νεμομένα, τάδε κατήνυσεν.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Κ. Ὦ τέκνα, πρὸς θεῶν μὴ κτάνητε μητέρα.
Χ. Κλύεις ὑπώροφον βοάν;
Κ. Ἰώ μοι, μοι.
Χ. Ὤμωξα κἀγὼ πρὸς τέκνων χειρουμένης.
Νέμει τοι δίκαν θεὸς, ὅταν τύχῃ.
Σχέτλια μὲν ἔπαθες, ἀνόσια δ' εἰργάσω,
Τάλαιν', εὐνέταν.

ΙΑΜΒΟΙ.

Ἀλλ' οἵδε, μητρὸς νεοφόνοις ἐν αἵμασι
Πεφυρμένοι, βαίνουσιν ἐξ οἴκων πόδα·
Τρόπαια δείγματ' ἀθλίων προσφθεγμάτων.
Οὐκ ἔστιν οὐδεὶς οἶκος ἀθλιώτερος
Τῶν Ταντaλείων, οὐδ' ἔφυ ποτ', ἐκγόνων.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Ο. Ἰὼ γᾶ, καὶ Ζεῦ πανδερκέτα βροτῶν·
Ἴδετε τάδ' ἔργα φόνια μυσαρά.
Δίγονα σώματ' ἐν χθονὶ κείμενα, πλαγᾷ
Χερὸς ὑπ' ἐμᾶς, ἄποιν' ἐμῶν πημάτων.
Η. Δακρύτ' ἄγαν, ὦ σύγγον'· αἰτία δ' ἐγώ.
Διὰ πυρὸς ἔμολεν ἁ τάλαινα μητρὶ τᾷ-
δ', ἅ μ' ἔτικτε κούραν.

Querceta depaſcens, haec *facinora* patravit.

MONOSTROPHICA.

C. O liberi, per deos ne matrem occidite.

C. Audis ſub tecto vocem?

C. Eheu, hei mihi.

C. Deploro et ego ipſam a liberis ſuis oppreſſam.

Tribuit profecto jus Deus, quum res tulerit.

Gravia quidem *mala* es paſſa: ſed impia *patraſti*,

Miſera, in maritum.

IAMBI.

Sed ecce hi, matris recenti ſanguine

Imbuti, *ex* aedibus efferunt pedem:

Dira indicia repenſae caedis.

Haud eſt ulla domus calamitoſior,

Neque fuit unquam, quam nepotum Tantali.

MONOSTROPHICA.

O. Io Tellus, et Jupiter cuncta-cernens motalium:

Aſpicite haec facinora cruenta, deteſtanda,

Gemina corpora humi proſtrata ictu mea

A manu, compenſationem mearum calamitatum.

E. Admodum flebilia, o frater: ego vero cauſa.

Per ignem veni ego miſera matri huic,

Quae me puellam peperit.

Heu calamitatem tuam, calamitatem, o mater, quae
Peperiſti ſceleſtos; o miſera
Et pluſquam miſera perpeſſa tuis
A liberis.
At patris *noſtri* ultus es
Caedem jure.
O. Io, Phoebe, vindictam excitaſti:
Infandos autem manifeſtos feciſti
Dolores, funeſtaque amoviſti connubia e terra.
Graecanica.
Quam igitur aliam *in* urbem ibo? quis hoſpes?
Quis pius meum caput aſpiciet,
Qui matrem occidi?
E. Io, ah, ah, quid autem ego?
Quem in chorum,
Quas *ad* nuptias ibo? Quis vir me recipiet
Conjugalia in cubilia?
O. Rurſus, rurſus mentis tuae ſenſus
Mutatus eſt ſecundum auram:
Nunc enim ſancte cogitas, tum non cogitans bene.
Dira enim patraſti, o chara, in
Fratrem non volentem.
Vidiſtine ut miſera *ex* ſuis peplis

Ἰὼ τύχας σᾶς, τύχας, μᾶτερ τεκοῦ-
σ᾽· ἄλαστα μελέα,
Καὶ πέρα γε παθοῦσα σῶν
Τέκνων ὕπαι·
Πατρὸς δ᾽ ἔτι-
σας φόνον δικαίως.
Ο. Ἰὼ· Φοῖϐ᾽, ἀνύμνησας δίκαν,
Ἄφατα φανερὰ δ᾽ ἐξέπρα-
ξας ἄχεα, φοίνια δ᾽ ὤπασας λέχε᾽ ἀπὸ γᾶς
Τᾶς Ἑλλανίδος.
Τίνα δ᾽ ἑτέραν μόλω πόλιν; τίς ξένος;
Τίς εὐσεϐὴς ἐμὸν κάρα προσόψεται,
Μητέρα κτανόντος;
Η. Ἰώ μοι, μοι· ποῖ δ᾽ ἐγώ;
Τίν᾽ εἰς χορόν;
Τίνα γάμον εἶμι; τίς πόσις με δέξεται
Νυμφικὰς ἐς εὐνάς;
Ο. Πάλιν πάλιν φρόνημα σὸν
Μετεστάθη πρὸς αὔραν·
Φρονεῖς γὰρ ὅσια νῦν, τότ᾽ οὐ φρονοῦσα γ᾽ εὖ.
Δεινὰ δ᾽ εἰργάσω, φίλα,
Κασίγνητον οὐκ ἐθέλοντα.
Κατεῖδες οἷον ἁ τάλαιν᾽ ἔσω πέπλων

Ἔβαλεν, ἔδειξε, μαςὸν ἐν φοναῖς
Ἰώ μοι, μοι, πρὸς πέδῳ
Τιθεῖσα γόνιμα μέλεα; τὰν κόμαν δ' ἐγώ.
Η. Σάφ' οἶδα, δι' ὀδύνας ἔβας,
Ἰήϊον κλύων γόον
Μητρὸς, ἅ σ' ἔτικτε.
Ο. Βοὰν δ' ἔλασκέ τάνδε, πρὸς γένυν ἐμὰν
Τιθεῖσα χέρας·
Τέκος ἐμὸν, λιταίνω.
Παρηΐδων τ' ἐξ ἐμᾶν
Ἐρήμναθ'· ὥςε χέρας ἐμὰς λιπεῖν βέλος.
Χ. Τάλαινα, πῶς ἔτλας φόνον
Δι' ὀμμάτων ἰδεῖν σέθεν
Μητρὸς ἐκπνεούσας.
Ο. Ἐγὼ μὲν ἐπιβαλὼν φάρη κόραις ἐμαῖ-
σι, φασγάνῳ κατηρξάμαν,
Ματέρος ἔσω δέρας μεθείς.
Η. Ἐγὼ δ' ἐπεκέλευσά σοι,
Ξίφους τ' ἐφαψάμην ἅμα.
Χ. Δεινότατον παθέων ἔρεξας.
Λαβοῦ, κάλυπτε μέλεα ματέρος·
Πέπλοις καθάρμοσον σφαγάς.
Φονέας ἔτικτες ἆρα σοι.

Exeruerit, oſtenderit mammas in caede?
Hei mihi, mihi, humi
Ponens genetalia membra: comam vero ego.
E. Certo ſcio: Dolorem ſenſiſti,
Luctuoſum audiens clamorem
Matris, quae te peperit.
O. Vocem porro hanc emiſit, ad mentum meum
Ponens manus,
O fili mi, ſupplex oro:
Meiſque a genubus
Pendebat, ut manibus meis telum excideret.
C. Miſera, quomodo auſa es caedem
Oculis tuis aſpicere
Matris *animam* efflantis?
O. Ego quidem, pallium objiciens oculis meis,
Enſe *caedem* ſum auſpicatus, *cum*
Matris in cervicem demittens.
E. Ego vero te ſum hortata,
Enſemque ſimul attrectavi.
C. Indigniſſimum patraſti facinus.
Prehende, tege membra matris;
Peplis compone vulnera.
Interfectores ſane peperiſti tibi.

E. En, amicae, et non amicae,
Veſtes circumponimus,
Finem magnorum malorum *noſtrae* domus.

ANAPAESTI.

C. At hi ſummo ſuper domus culmine
Apparent neſcio qui daemones, aut Dii
Caeleſtes: non enim mortalium
Haec *eſt* via. Cur tandem in manifeſtum
Conſpectum prodeunt mortalibus?

IAMBI.

G. O Agamemnonis fili, audi; Gemini enim te
Matris vocant fratres, Jovis filii, Caſtor, et hic
Pollux frater *meus*: gravem enim navibus modo
Maris aeſtum poſtquam ſedavimus, venimus
Argos, ubi vidimus caedem ſororis hujus, matris
Vero tuae. Juſta quidem haec habet; tu vero
Non feciſti; Phoebus vero, Phoebus.—Sed,
Rex enim eſt meus, taceo: cum autem ſit ſapiens,
Non *tamen* ſapiens oraculum tibi reddidit. Probare
Tamen haec *eſt* neceſſe. Poſthac vero oportet
Facere, quae fatum Jupiterque de te decrevit.
Pyladae quidem Electram da uxorem in aedes
Ducendam. Tu vero relinque Argos: haud enim

Η. Ἰδοὺ, φίλαι τε, κοὐ φίλαι,
Φάρεα γ' ἀμφιβάλλομεν,
Τέρμα κακῶν μεγάλων δόμοισιν.

ΑΝΑΠΑΙΣΤΟΙ.

Χ. Ἀλλ' οἵδε δόμων ὑπὲρ ἀκροτάτων
Φαίνȣσι τινὲς δαίμονες, ἢ θεῶν
Τῶν οὐρανίων; οὐ γὰρ θνητῶν
Γ' ἥδε κέλευθος· τί ποτ' εἰς φανερὰν
Ὄψιν βαίνȣσι βροτοῖσιν;

ΙΑΜΒΟΙ.

Δ. Ἀγαμέμνονος παῖ, κλῦθι· δίπτυχοι δέ σοι
Καλοῦσι μητρὸς σύγγονοι Διόσκοροι,
Κάστωρ, κασίγνητός τε Πολυδεύκης ὅδε,
Δεινὸν δὲ ναυσὶν ἀρτίως πόντȣ σάλον
Παύσαντ', ἀφίγμεθ' Ἄργος, ὡς εἰσείδομεν
Σφαγὰς ἀδελφῆς τῆσδε, μητέρος δὲ σῆς.
Δίκαια μὲν νῦν ἥδ' ἔχει· σὺ δ' οὐχὶ δρᾷς.
Φοῖβος τε, Φοῖβος· ἀλλ', ἄναξ γάρ ἐστ' ἐμὸς,
Σιγῶ· σοφὸς δ' ὢν, οὐκ ἔχρησέ σοι σοφά.
Αἰνεῖν δ' ἀνάγκη ταῦτα· τἀντεῦθεν δὲ χρὴ
Πράσσειν, ἃ μοῖρα, Ζεύς τ', ἔκρανε σοῦ πέρι.
Πυλάδῃ μὲν Ἠλέκτραν δὸς ἄλοχον εἰς δόμȣς,
Σὺ δ' Ἄργος ἔκλιπ'· οὐ γάρ ἐστι σοι πόλιν

Τήνδ' ἐμβατεύειν, μητέρα κτείναντα σήν.
Δειναὶ δὲ κῆρες, αἱ κυνώπιδες θεαὶ,
Τροχηλατήσουσ' ἐμμανῆ πλανώμενον.
Ἐλθὼν δ' Ἀθήνας, Παλλάδος σεμνὸν βρέτας
Πρόσπτυξον· εἴρξει γάρ νιν ἐπτοημένας
Δειναῖς δράκουσιν, ὥστε μὴ ψαύειν σέθεν,
Γοργῶπ' ὑπερτείνουσά σου κάρα κύκλον.
Ἔστιν δ' Ἀρεός τις ὄχθος· οὗ πρῶτον θεοὶ
Ἕζοντ' ἐπὶ ψήφοισιν αἵματος πέρι·
Ἁλιῤῥόθιον ὅτ' ἔκταν' ὠμόφρων Ἄρης,
Μῆνιν θυγατρὸς ἀνοσίων νυμφευμάτων,
Πόντου κρέοντος παῖδ'· ἵν' εὐσεβεστάτη
Ψῆφος, βεβαία τ', ἐστὶν ἔκ τε τοῦ θεοῖς.
Ἐνταῦθα καὶ σὲ δεῖ δραμεῖν φόνου πέρι·
Ἴσαι δέ σ' ἐκσώζουσι μὴ θανεῖν δίκῃ
Ψῆφοι τεθεῖσαι· Λοξίας γὰρ αἰτίαν
Εἰς αὑτὸν οἴσει, μητέρος χρήσας φόνον.
Καὶ τοῖσι λοιποῖς ὅδε νόμος τεθήσεται,
Νικᾶν ἴσαις ψήφοισι τὸν φεύγοντ' ἀεί.
Δειναὶ μὲν οὖν θεαὶ, τῷδ' ἄχει πεπληγμέναι,
Πάγον παρ' αὐτὸν χάσμα δύσονται χθονὸς,
Σεμνὸν βροτοῖσιν εὐσεβὲς χρηστήριον.
Σὲ δ' Ἀρκάδων χρὴ πόλιν ἐπ' Ἀλφειοῦ ῥοαῖς

Tibi licet urbem hanc ingredi, quia tuam matrem
Occidiſti. Terribiles autem Parcae, Deae caninis
Oculis praeditae, *te* furore correptum agitabunt
Errantem. Profectus autem Athenas, Palladis
Venerandum ſimulachrum complectens adora:
Arcebit enim ipſas metu perculſas, ſaevis draconibus,
Ne te tangant, terribilem *Ægidis* orbem obtendens
Tuo capiti. Eſt autem Martis quidam tumulus, ubi
Primum Dii conſederunt ad ſuffragia ~~de~~ ſanguine
Ferenda, Halirrhothium quum interfecit crudelis
Mars, *ob* iram *propter* impia filiae ſponſalia,
Filium *Neptuni* regis maris. Ubi ſanctiſſimum
Judicium et firmum eſt ab illo *tempore* Diis,
Hic te quoque oportet *ſubire iudicium* de caede.
Paria vero te ſervabunt, ne judicio moriaris,
Suffragia *a judicibus* lata. Phoebus enim culpam
In ſe ipſum transferet, qui matris *tuae* caedem
Oraculo *ſuo* tibi ſuaſerit. Et reliquis haec lex
Feretur, ut reus paribus ſuffragiis ſemper vincat.
Ac dirae quidem Deae hoc dolore perculſae,
Rupem ad ipſam, ſubibunt hiatum terrae,
Venerandum mortalibus piis oraculum.
Te vero ad Alphei fluenta oportebit Arcadum

Terram habitare, prope Lycaeum delubrum:
De tuo vero nomine vocabitur regio.
Tibi quidem haec dixi. Ægiſthi vero cadaver hoc
Argivi cives terrae ſepulchro tegent.
Matrem vero tuam, modo Naupliam appellens
Menelaus, ex quo Trojanum cepit agrum,
Et Helena ſepelient. Protei enim ex aedibus *illa*
Rediit, relicta Ægypto, nec ivit *ad* Phrygas:
Sed Jupiter, ut lis et caedes fieret mortalium,
Simulachrum Helenae miſit ad Ilium.
Pylades igitur laetus et conjugem habens
In Achaicae terrae domum introducat, et verbis,
Tituloque tuum affinem [*ſororis Maritum*] deducat
Phocenſium in terram, et det auri pondus.
Tu vero Iſthmiae terrae cervicem pede ingrediens,
Perge ad fortunatam Cecropiae domum:
Fatalem enim aerumnae ſortem cum expleveris,
Felix eris his liberatus laboribus.

ANAPAESTI.

C. O filii Jovis, *eſtne* fas ad colloquia
Veſtra nobis accedere?
G. Fas *eſt*; cum non ſitis execrabiles ob has caedes.
O. Et mihi ſermonis copia conceſſa eſt, o Tyndaridae?

Οἰκεῖν, Λυκαίου πλησίον σηκώματος·
Ἐπώνυμος δέ σου πόλις κεκλήσεται.
Σοὶ μὲν τάδ' εἶπον· τόνδε δ' Αἰγίσθου νέκυν
Ἄργους πολῖται γῆς καλύψουσιν τάφῳ.
Μητέρα δὲ τὴν σὴν, ἄρτι Ναυπλίαν παρὼν,
Μενέλαος, ἐξ οὗ Τρωϊκὴν εἷλε χθόνα,
Ἑλένη τε θάψει· Πρωτέως γὰρ ἐκ δόμων
Ἥκει, λιποῦσ' Αἴγυπτον, οὐδ' ἦλθε Φρύγας.
Ζεὺς δ', ὡς ἔρις γένοιτο καὶ φόνος βροτῶν,
Εἴδωλον Ἑλένης ἐξέπεμψ' εἰς Ἴλιον.
Πυλάδης μὲν οὖν, κόρην τε ϗ δάμαρτ' ἔχων,
Ἀχαΐδος γῆς οἴκαδ' εἰσπορευέτω,
Καὶ τὸν λόγῳ σὸν πενθερὸν κομιζέτω
Φωκέων ἐς αἶαν, ϗ δότω πλούτου βάρος.
Σὺ δ', Ἰσθμίας γῆς αὐχέν' ἐμβαίνων ποδὶ,
Χώρει πρὸς οἶκον Κεκροπίας εὐδαίμονα·
Πεπρωμένην γὰρ μοῖραν ἐκπλήσας φόνου,
Εὐδαιμονήσεις τῶν' ἀπαλλαχθεὶς πόνων.

ΑΝΑΠΑΙΣΤΟΙ.

Χ. Ὦ παῖδε Διὸς, θέμις εἰς φθογγὰς
Τὰς ὑμετέρας ἡμῖν πελάθειν;
Δ. Θέμις, οὐ μυσαραῖς τοῖσδε σφαγίοις.
Ο. Κἀμοὶ μύθου μέτα, Τυνδαρίδαι;

Δ. Καὶ σοί· Φοίβῳ τήνδ' ἀναθήσω
Πρᾶξιν φονίαν.
Χ. Πῶς, ὄντε θεὼ, τῆσδέ τ' ἀδελφὼ,
Καὶ καταφθιμένης,
Οὐκ ἠρκέσατον κῆρας μελάθροις;
Δ. Μοίρας ἀνάγκης ἡγεῖτο χρεὼν,
Φοίβου τ' ἄσοφοι γλώσσης ἐνοπαί.
Η. Τί δαί μ' Ἄπολλων; ποῖοι χρησμοὶ
Φονίαν ἔδοσαν μητέρι γενέσθαι;
Δ. Κοιναὶ πράξεις, κοινοὶ δὲ πότμοι·
Μία δ' ἀμφοτέρους
Ἄτη πατέρων διέκναισεν.
Ο. Ὦ σύγγονέ μοι· χρονίαν σ' ἐσιδὼν,
Τῶν σῶν εὐθὺς φίλτρων στέρομαι,
Καί σ' ἀπολείψω, σοῦ λειπόμενος.
Δ. Πόσις ἔστ' αὐτὸς καὶ δόμος· οὐχ ἥ-
δ' οἰκτρὰ πέπονθε, πλὴν ὅτι λείπει
Πόλιν Ἀργείων.
Ο. Καὶ τίνες ἄλλαι στοναχαὶ μείζους,
Ἢ γῆς πατρῴας ὅρον ἐκλείπειν;
Ἀλλ' ἐγὼ οἴκων ἔξειμι πατρὸς,
Καὶ ἐπ' ἀλλοτρίαις ψήφοισι φόνον
Μητρὸς ὑφέξω.

G. Et tibi. Hanc *enim* Phoebo tribuam

Actionem cruentam.

C. Quomodo, cum ſitis Dii, hujuſque fratres

Extinctae

Non avertiſtis *clades* ab aedibus?

G. Fati neceſſitas *huc eos* ducebat,

Et Phoebaeae linguae non ſapientes voces.

E. Quid autem me Phoebus? quae oracula

Juſſerunt me autorem maternae necis eſſe?

G. Communes *ſunt* actiones, et fata communia.

Una vero vos ambos

Noxa *veſtrorum* parentum perdidit.

O. O ſoror mea, longo poſt tempore cum te viderim,

Protinus tuo amore privor,

Teque deſeram, a te deſertus.

G. Maritus eſt ipſi, et domus; haec non

Triſtia patitur, niſi quod relinquit

Urbem Argivorum.

O. Et quinam alii gemitus graviores,

Quam *ſi cogaris* patriae fines relinquere?

Sed ego patris ex aedibus exibo,

Et apud externos judices caedem

Matris ſuſtinebo.

G. Bono ſis animo. Palladis *enim ad* ſacram venies
Urbem : quare tolera.
E. Pectus *tuum* pectori meo applica,
O frater chariſſime.
Disjungunt enim nos a paternis
Ædibus matris cruentae imprecationes.
O. Age, complectere corpus ; et mortui
Ut ad tumulum luge.
G. Heu, heu. Triſte hoc dixiſti,
Vel diis auditu:
Inſunt enim et mihi, atque caelitibus
Commiſerationes aerumnoſorum mortalium.
O. Non amplius te videbo.
E. Nec ego *poſthac* in tuum conſpectum veniam.
O. Haec ultima mihi tecum colloquia.
E. O vale, civitas,
Vale et vos longum, mulieres concives.
O. O fidiſſima, jam abis?
E. Abeo, teneras humectans palpebras.
O. Pylades, laetus abi, *tibique* deſponſum abduc
Corpus Electrae.
G. Hiſce curae erunt nuptiae: ſed canes
Has vitaturus, ito Athenas.

Δ. Θάρσει· Παλλάδος ὁσίαν ἥξεις
Πόλιν· ἀλλ' ἀνέχε.
Η. Περί μοι στέρνοις στέρνα πρόσαψον,
Σύγγονε φίλτατε·
Διὰ γὰρ ζευγνῦσ' ἡμᾶς πατρῴων
Μελάθρων μητρὸς φόνιοι κατάραι.
Ο. Βάλε, πρόσπτυξον σῶμα, θανόντος
Δ' ὡς ἐπὶ τύμβῳ καταθρήνησον.
Δ. Φεῦ, φεῦ· δεινὸν τόδ' ἐγηρύσω
Καὶ θεοῖσι κλύειν·
Ἔνι γὰρ κἀμοὶ, τοῖς τ' οὐρανίδαις,
Οἶκτοι θνητῶν πολυμόχθων.
Ο. Οὐκ ἔτι σ' ὄψομαι.
Η. Οὐδ' ἐγὼ εἰς σὸν βλέφαρον πελάσω.
Ο. Τάδε λοίσθιά μοι προσφθέγματά σε.
Η. Ὦ χαῖρε, πόλις·
Χαίρετε δ' ὑμεῖς πολλὰ πολίτιδες.
Ο. Ὦ πιστοτάτη, στείχεις ἤδη;
Η. Στείχω, βλέφαρον τέγγεσ' ἁπαλόν.
Ο. Πυλάδη, χαίρων ἴθι νυμφεύε
Δέμας Ἠλέκτρας.
Δ. Τοῖσδε μελήσει γάμος· ἀλλὰ, κύνας
Τάσδ' ὑποφεύγων, στεῖχ' ἐπ' Ἀθηνῶν·

Δεινὸν γὰρ ἴχνος βάλλουσ' ἐπὶ σοὶ
Χειροδράκοντες, χρῶτα κελαιναὶ,
Δεινῶν ὀδυνῶν καρπὸν ἔχουσαι.
Νὼ δ' ἐπὶ πόντον Σικελὸν σπουδῇ.
Σώσοντε ναῶν πρώρας ἐνάλους·
Διὰ δ' αἰθερίας στείχοντε πλακὸς,
Τοῖς μὲν μυσαροῖς οὐκ ἐπαρήγομεν·
Οἷσιν δ' ὅσιον, καὶ τὸ δίκαιον,
Φίλον ἐν βιότῳ, τούτους, χαλεπῶν
Ἐκλύοντες μόχθων, σώζομεν.
Οὕτως ἀδικεῖν μηδεὶς θελέτω,
Μήδ' ἐπιόρκων μέτα συμπλείτω·
Θεὸς ὢν θνητοῖς ἀγορεύω.
Χ. Χαίρετε· χαίρειν δ' ὅστις δύναται,
Καὶ ξυντυχίᾳ μήτινι κάμνει
Θνητῶν, εὐδαίμονα πράσσει.

ΤΕΛΟΣ.

Terribili enim gradu in te contendunt
Manus-draconibus-armatas-habentes, corpore
Nigrae, dirorum dolorum ſtimulos moderantes.
Nos vero ad mare Siculum celeri ſtudio,
Servaturi proras proborum in mari:
Per aethercam vero meantes plagam,
Impiis quidem non auxiliamur:
Quibus vero pietas, et juſtitia *eſt*
Grata in vita, illos gravibus
Liberantes laboribus ſervamus.
Sic *igitur* injuſte agere nullus velit,
Neque cum perjuris naviget;
Ego qui Deus ſum, mortalibus *hoc* edico.
C. Valete. Valere autem quiſquis poteſt mortalium,
Et infortunio nullo laborat,
Beate agit.

FINIS.

Ὁ ΤΟΥ

ΕΥΡΙΠΙΔΟΥ

ΔΑΝΑΗ.

Ὁ ΤΟΥ

ΕΥΡΙΠΙΔΟΥ ΔΑΝΑΗ.

Τὰ τῦ Δράματος

ΠΡΟΣΩΠΑ.

ἙΡΜΗΣ.

ΔΑΝΑΗ.

ΤΡΟΦΟΣ.

ΑΚΡΙΣΙΟΣ.

ΑΓΓΕΛΟΣ.

ΧΟΡΟΣ.

ΑΘΗΝΑ.

Προλογίζει δὲ ὁ Ἑρμῆς.

D A N A E.

MERCURIUS

IAMBI.

DOMUS quidem hae, et Deorum delubra
Lycea, quae aureo luxu ornata ſunt, *audiunt.*
Imperium vero horum, et bene ſtructa terrae
Munimenta, Acriſius obtinet Princeps hujus agri.
A Graecis vero Argos haec urbs appellatur. Hic
Autem, maſculae prolis *procreandae* deſiderio captus,
Pythonem adiit, et dixit Phoebo haec:
Quonam modo ſemen filii in aedibus exiſteret,
Quem deorum mortaliumve propitium nactus?
Ille vero perobſcuram edidit vocem:
Erit quidem, erit maſculae prolis foetus
Non ex illo *ſuſceptus.* Primum enim foemineum
Semen procreare oportebit. Deinde vero illa *foemina*
Tandem, cubile clandeſtinum cognoſcens, et non
Cognoſcens tamen, alatum leonem pariet patri,
Qui huic agro imperabit, et alii multo.
His Phoebi oraculis auditis,
Ab uſu uxoris abſtinuit: *tandem* vero oblitus gignit
Apraeſenti cupiditate victus.

ΔΑΝΑΗ.

ΕΡΜΗΣ.

ΙΑΜΒΟΙ.

ΔΟΜΟΙ μὲν οἵδ᾽, εὔπυργά τ᾽ ἐρύματα χθονὸς,
Οὐκ ἐν πολυχρύσοισιν ἤσκηται χλιδαῖς·
Ἀρχὴν δὲ τῶνδε, καὶ θεῶν ἱδρύματα,
Ἀκρίσιος εἴληχεν τύραννος τῆσδε γῆς.
Ἕλλησι δ᾽ Ἄργος ἡ πόλις κικλήσκεται.
Οὗτος δ᾽, ἔρωτι παιδὸς ἄρσενος σχεθεὶς,
Πυθῶδ᾽ ἀφῖκτο, καὶ λέγει Φοίβῳ τάδε·
Πῶς ἂν γένοιτο σπέρμα παιδὸς ἐν δόμοις,
Τίνος θεῶν, βροτῶν τε, πρευμενοῦς τυχών.
Κεῖνος δὲ δυσξύμβλητον ἐξήνεγκ᾽ ὄπα·
Ἔσται μὲν, ἔσται παιδὸς ἄρσενος τόκος
Οὐκ ἐξ ἐκείνου· πρῶτα γὰρ θῆλυν σπορὰν
Φῦσαι δεήσει· κᾆτα πῶς κείνη ποτὲ,
Εὐνὴν κρυφαίαν γνοῦσα, καὶ μὴ γνοῦσα δὴ,
Ὑπόπτερον λέοντα τέξεται πατρὶ,
Ὃς τῆσδε γ᾽ ἄρξει θατέρας πολλῆς χθονός.
Τοιαῦτ᾽ ἀκούσας Λοξίου μαντεύματα,
Γάμων ἀπείχεθ᾽· ὁ μὲν δέ γε τίκτει λαθὼν,
Πρὸς τοῦ παρόντος ἱμέρου νικώμενος.

Δανάην δὲ πρωνόμασε τήνδ', ὅθ' οὕνεκα
Πολὺς παρῆλθεν εἰς γονὴν παίδων χρόνος.
Ἐν παρθενῶσι δ' εὐθὺς, οἷς ἐδείματο,
Δίδωσιν Ἀργείαισιν εὔφρουρον κόραις,
Εἰς ἀνδρὸς ὄψιν εὐλαβούμενος μολεῖν.
Εἶθ' ὡς ὁ μακρὸς ηὔξανεν ταύτην χρόνος,
Καὶ κάλλος εἶχεν ἔξοχον καθ' Ἑλλάδα,
Φίλτροις ἀφύκτοις Ζεὺς καταχυθεὶς πατὴρ
Εὐνῇ συνελθεῖν λάθρα πως ἠβούλετο.
Σαφῶς δὲ πείθειν οὐκ ἔχων, εἰς μηχανὴν
Τοιάνδ' ἐχώρησ', ὡς ἄπυρος χρυσὸς γεγὼς,
Ποθεινὸν εἰδὼς τοῦτο κτῆμα τοῖς βροτοῖς,
Διὰ στέγους ῥεύσειεν ἐν χερσὶν κόρης.
Ἡ δ' οὖν, μὴ γνοῦσα τὸν κεκρυμμένον δόλον,
Κόλποισι τὸν θεὸν εἰσρέοντ' ἐδέξατο.
Χρόνῳ δὲ αὐτὴν ὡς κατεῖδ' ἐγκύμονα,
Εἰς θαῦμ' ἐστήει, κἀξεπέπληκτο σαφῶς,
Ὡς εἰς τόδ' ἦλθεν μέμψιν εὐλαβουμένη,
Φυγῇ δὲ λάθρα τῆσδε γῆς ὁρμωμένη.
Μαθὼν πατήρ νιν ἐγκατάκλειστον δόμοις
Ὀργῇ χολωθεὶς καὶ σκότῳ κρύψας ἔχει,
Τἀληθὲς ὄψει προσκοπούμενος μαθεῖν,
Καὶ ταῦτ' ἀληθῆ, καὶ σαφῶς ἔχοντ' ἰδὴ,
Ἔγνωκεν ἄμφω ποντίους ἀφιέναι,

Danaen vero nominavit hanc, quia multum tempus
Preateriit ante liberorum genituram. Confeſtim
Autem in virginalibus conclavibus, quae aedificavit,
Dat Argivis cuſtodiendam puellis,
In viri conſpectum cavens ne veniret.
Deinde vero cum longum tempus hanc augeret,
Et formam haberet eximiam in Graecia,
Amore ineluctabili Jupiter pater correptus
Toris congredi clam *cum ea* cupiebat. Aperte vero
Cum *ei rem* perſuadere non poſſet, ad machinam
Dolumque talem venit, ut in aurum ignis expers
Converſus, quod hanc poſſeſſionem mortalibus
Optabilem *eſſe* ſciret, per tectum flueret in manus
Puellae. Illa vero non cognito occulto dolo,
Sinu Deum influentem excepit.
Tandem vero cum vidiſſet ſe gravidam *eſſe*,
In admirationem venit, et rem miram obſtupuit:
Fuga vero clam ex hac terra abire cogitantem eam,
Quando in hunc ſtatum devenit, reprehenſiones
Vitantem pater intelligens, concluſam in aedibus,
Ira percitus, et tenebris occultatam ſervat,
Veritatem aſpectu proſpiciens reſciſcere:
Et ſi haec vera et certa eſſe viderit,
Decrevit ambos in mare projicere,

Et filiam, et filium *ejus*. Quorum vero *cauſa* miſſus
Sum *huc*, ſermones Danaae hos jucundos afferens
A Jove, celerrime declaraturus perveniam.
Miniſtrum enim exiſtentem imperata facere
Oportet alacriter, quicunque fuerit mentis compos.
C. Quis novus hic ſermo
Ad meas venit aures?
Unde ſedulo properans,
Ad has Regis aedes ancipiti animo pendens accedo.
Quis dominam meam Danaen
Rumor agitat per urbem?
Quem utinam nunquam in aures *meas* tuliſſet,
Qui primus haec dicere *nobis* eſt auſus;
Quod gravida ſit deprehenſa, polluta lectis
Viri. Pater vero ipſam includens
In virginalibus conclavibus, ſigilis *ejus* corpus
Cuſtodit. Haec certo ſcire volo.
Sed enim video Regem hujus agri
Argivi, Acriſium, ex aedibus prodeuntem:
Ira, ut videtur, animum gravatur.
A. Tu vero, ſi in aedibus benevola eſſes *nobis*,
Nunquam ad tantam audaciam progreſſus eſſes.—

F I N I S.

Τὴν παῖδα, καὶ τὸ τεχθέν· ὧν δὲ γ' ἐςάλην,
Μύθους Δανάῃ τοῦσδ' εὐπροσηγόρους ἄγων
'Εκ Διὸς, ἀφίξομαι τάχιςα σημανῶν.
'Υπηρέτην γὰρ ὄντα τἀπεςαλμένα
Πράσσειν προθύμως, ὅςιν ἂν γ' ᾖ νουνεχής.
Χ. Τίς ὁ καινοτρόπος οὗτος μῦθος
Κατ' ἐμὰν ἧκεν ἀκουάν;
Ἔνθ' ἀσπερχὲς μενεαίνουσα
Τοῖσδε δώμασι κοιράνου ἀμφίδοξος πελάζω.
Τίς δεσπότιν ἐμὴν Δανάην
Βάξις ἔχει κατὰ πτόλιν;
Ἣν μή ποτ' ὤφελ' εἰς ὦτα φέρειν
Ὁ πρῶτος τάδε φράσαι τολμήσας,
Ὡς ἐγκύμων εἴληπται, χρανθεῖσα λέκτροις
'Ανδρός· πατὴρ δέ μιν κλήσας
'Εν παρθενῶσι σφραγῖσι δέμας φυλάσσει.
Ταῦτ' ἐτήτυμα μαθεῖν θέλω.
'Αλλ' εἰσορῶ γὰρ τύραννον χθονὸς τῆσδ'
'Αργείας 'Ακρίσιον πρὸ δόμων ςείχοντα·
Φυγῇ βαρὺς ὡς δόξαι κέαρ.
Α. Σὺ δ', εἰ κατ' οἴκους εὐνοῶν ἐτύγχανες,
Οὐκ ἄν ποτ' ἦλθες εἰς τόδε θράσους.

Λείπει τὰ λοιπά.

ΕΠΙΣΤΟΛΑΙ

ΕΥΡΙΠΙΔΟΥ.

ΕΠΙΣΤΟΛΗ ΠΡΩΤΗ.

ΑΡΧΕΛΑΩι

ΒΑΣΙΛΕΙ.

ΤΟ μὲν ἀργύριον ἀνεπέμψαμέν σοι πάλιν, ὅπερ ἡμῖν Ἀμφίας ἐκόμιζεν· ȣ̓ δόξαν κενὴν θηρώμενοι, εἰ μήγε καὶ ἀχθεσθήσεσθαί [σε] μᾶλλον, ἢ ἀποδέξασθαι ἡμᾶς, δι' αὐτὸ ἐνομίζομεν· Τȣ̀ς δ' ἄλλȣς αὐτὸ τȣ̃το δὴ ϗ μάλιϛα συκοφαντεῖν ἐπιχειρήσειν, ὡς ἐπίδειξιν οὖσαν τὸ πρᾶγμα, καὶ πρόσχημα μᾶλλον εἰς τοὺς πολλȣ̀ς, ȣ̓ μεγαλοφροσύνην ȣ̓δεμίαν· ὥϛε τȣ́του μὲν ἀμφοῖν ἕνεκα χἂν ἐδεξάμεθα. καὶ Κλίτων δὴ ἐπέϛειλεν ἡμῖν, ὅπως λάβοιμεν, ἀπειλήσας ὀργιεῖσθαι μὴ λαβοῦσιν. Ἀλλ' ὡς τὸ μὲν αὔταρκες ἡμῖν τε ϗ τοῖς φίλοις παρόν· τὸ δὲ ὑπὸ σȣ̃ πεμφθὲν πλεῖον, ἢ ὅσον ἥ τε κτῆσις ἥρμοζε, καὶ ἦν ἡμῖν ἡ φυλακὴ ῥαδία.

Περὶ τῶν Πελλαίων νεανίσκων, ϗ πρότερον μὲν ἐπεϛείλαμέν σοι δεόμενοι, καὶ νῦν δεόμεθα σῶσαί τε αὐτȣ̀ς καὶ ἀνεῖναι τῶν δεσμῶν· ȣ̓δὲν γὰρ ἀδικεῖν ἐοίκασιν, ἢ ȣ̓δὲν βλάψειν ἀφεθέντες ἔτι· μέτριον δὲ καὶ τὸ χαρίσασθαι δεομένοις ἡμῖν, ϗ τὸ ἐλεῆσαι δὲ τὸν πατέρα αὐτῶν, γέροντα, ὡς ἔϛι πυνθάνεσθαι, τῶν εὐγενεϛάτων ἐν Πέλλῃ, καὶ κατὰ τἄλλα δοκίμων. Ὃς αὐτὸς ἐλθὼν Ἀθήναζεν, ἐφ᾽ ἡμᾶς κατέφυγεν, ἐλπίσας δύνασθαί τι παρὰ σοί· ϗ ἐδεήθη ταῦτα ἐπιϛεῖλαί σοι· Ἀλλὰ μὴ φαυλότερος γένῃ περὶ ἡμᾶς, ἢ ἐκεῖνος ὑπέλαβεν. Ἔῤῥωσο.

ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ.

ΣΟΦΟΚΛΕΙ.

ἘΚΟΜΙΣΘΗ Ἀθήναζεν, ὦ Σοφόκλεις, ἡ περὶ τὸν εἰς Χῖον πλοῦν γενομένη σοι συμφορά· καὶ ἴσθι, οὕτω διατεθεῖσαν τὴν πόλιν ἅπασαν, ὡς μηδὲ τȣ̀ς ἐχθρȣ̀ς ἧσσον ἀχθεσθῆναι τῶν φίλων. Τὸ δὲ, τοσȣ́τȣ κακοῦ ἤκον-

τος, περισώζεσθαί σε, καὶ τὸ τῶν συνόντων σοι φίλων, μηδὲ θεραπόντων ἀποβαλεῖν μηδένα, ἐκ ἄλλο τι ἔγωγε, ἢ θεοῦ πρόνοιαν, γενέσθαι πείθομαι. Ἡ μέντοι περὶ τὰ Δράματα συμφορὰ, ἣν τίς ἐχὶ κοινὴν ἁπάσης τῆς Ἑλλάδος νομίσειεν ἂν; δεινὴ μὲν, ἀλλὰ περιόντος γε σοῦ ῥαδίως ἐπανορθωθήσεται. Σκόπει δ', ὅπως ἀσφαλεστέραν, ἢ ταχυτέραν, ποιήσαιο τὴν ἐπάνοδον· καὶ ἤτοι ἄρα ἡ θάλασσα, ἢ τὸ κρύος παραχρῆμα νηχόμενόν γε, ἢ ὕστερον, κακῶσαι δοκεῖ, ῥαΐσας τὸ σῶμα πρότερον ἡσυχῆ ἐπάνιθι. Καὶ τὰ οἴκοι ἴσθι κατὰ νῦν καὶ ὅσα ἐπέστειλας ἐπιτελῆ ὄντα.

Ἄσπασαι Χιονίδην τε καὶ Λαπρέτην, καὶ εἰδέτωσαν ἡμᾶς ἐχ ἥκιστα καὶ ἐπ' αὐτοῖς χαίροντας, ὅτι σώζονται. Ἀντιγένη τὸν ἰατρὸν, εἴπερ ἔτι ἐν Χίῳ καταλαμβάνεις, καὶ μὴ ἀπῆρκέ πω εἰς Ῥόδον, ἄσπασαι, καὶ ἴσθι ἀνδρῶν βέλτιστον ὄντα· καὶ τὲς Κρατίνε υἱεῖς. Ἔῤῥωσο.

ΕΠΙΣΤΟΛΗ ΤΡΙΤΗ.

ΑΡΧΕΛΑΩ

ΒΑΣΙΛΕΙ.

ΑΦΙΚΕΤΟ Ἀθήναζε πρὸς ἡμᾶς ὁ Πελλαῖος γέρων ἅμα τοῖς ἑαυτοῦ νεανίσκοις· καὶ ἐγένετο μὲν ἡ ὄψις, ὦ βέλτιστε βασιλεῦ, ἡδεῖα μὲν ἐμοὶ τῷ θεωμένῳ τε καὶ δι' ὃν ταῦτα ἐγένετο, καλὴ δὲ καὶ σοὶ ἀπόντι καὶ φέρουσα δόξαν πολλὴν και ζῆλον παρὰ πᾶσι τοῖς τε ἐπιτηδείοις τοῖς ἐμοῖς καὶ Ἀθηναίων ὁπόσοι εἶδον· εἶδον δὲ πολλοί. Καὶ οὐδεὶς, ὅστις οὐκ ἠγάσθη τέ σου τῆς φιλανθρωπίας καὶ συνηύξατό σοι τὰ ἀγαθά. Περιῄει γὰρ γέρων, οὐ πολλαῖς πάνυ ἡμέραις πρότερον ἐνθάδε ῥυπῶν τε, καὶ κόμην ἔχων [κεκαρμένην,] ἐν οὕτω πάνυ λιτῇ τινι ἐλπίδι τεθειμένος τὴν σωτηρίαν τῶν παίδων, λαμπρός τε ἐξαίφνης καὶ μετὰ δυοῖν παίδοιν νεανίαιν, θύων τε τοῖς θεοῖς, ἐμέ τε ὑμνῶν καὶ περιέπων, ὅτι σώσαιμι αὐτῷ τοὺς υἱέας, καὶ

τὴν πόλιν τὴν τῶν Ἀθηναίων, ἔτι τοιούτους πολίτας τρέφοι.

Ἐγὼ δὲ πολλὰ μὲν καὶ ἕτερα εἰπεῖν ἔχω· οὐ βύλομαι δὲ, ἐπιδεικνὺς, ὅσῳ πλείονα ἐκ τύτυ σεαυτὸν ὤνησας, ἢ ἄλλον τινὰ ἀνθρώπων, δοκεῖν διὰ τοῦτο ἐλάττω σοὶ χάριν ἔχειν. Ὁμολογῶ δὲ αὐτός τε, εὖ τὰ μέγιστα πεπονθέναι, καὶ πειράσεσθαι τοῦ καλοῦ τύτυ ἔργυ πολλὰ πάνυ καὶ μεγάλα παρασχεῖν σοὶ χαριστήρια· ὅτι ὕτε τὸν δείλαιον γέροντα ἐκεῖνον, ὅτε ἠτύχει, τῆς ἐφ' ἡμῖν, ὕτε ἡμᾶς τῆς ἐπὶ σοὶ, γιγνομένης ἐψεύσω ἐλπίδος. Ἔῤῥωσο.

ΕΠΙΣΤΟΛΗ ΤΕΤΑΡΤΗ.

ΑΡΧΕΛΑΩι

ΒΑΣΙΛΕΙ.

ΚΑΙ τὰ περὶ τὺς Πελλαίυς, ὦ βέλτιστε Ἀρχέλαε, καὶ πολλὰ ἄλλα, πεπολίτευταί σοι καλῶς, καὶ πρὸς ἐμὲ, καὶ πρὸς ἑτέρυς ἐπιεικεῖς τε καὶ σπυδῆς ἀξίυς πολλύς.

Καὶ ὐχ ἧσσον αὐτὰ, εὖ ἴσθι, ὅσα πρὸς ἄλλȣς τινὰς, ἢ ὅσα πρὸς ἡμᾶς ἰδίᾳ πέπρακταί σοι καλῶς, ἐπιμελές μοι εἰδέναι, οὐ φιλοπράγμονι ὄντι, ἀλλὰ χαίροντι ἐφ' οἷς εὐδοκιμȣ̃ντα πυνθάνομαι σέ· καὶ χάριν σοι ὐκ ἐλάττω ὑπὲρ αὐτῶν ἔχω· ȣ̉ γὰρ ἀφ' ὧν αὐτὸς ἔπαθόν τι ἰδίᾳ, δεῖν μᾶλλον ἡσθῆναι, ἢ ὅτι σὲ τοιοῦτον ὄντα ἔγνων, ἔγωγε νομίζω. ταυτὸ δὴ τȣ̃τό μοι περίεστιν ἀπὸ παντὸς ἔργȣ, ὅτι ἂν εἰς ὁντινοῦν τῶν ἐπιεικῶν πυνθάνωμαί σε καλῶς πεπολιτευμένον.

Καὶ μέμνησο τȣ́των, ὦ βέλτιστε Ἀρχέλαε, ὅτι τὰ μὲν ἄλλα ὐδὲν πλέον, ἢ πολλȣ̀ς πόνȣς καὶ πολλὰς φροντίδας, ἔδωκέ σοι ὁ Θεός· ἓν δὲ ἔδωκεν ἀγαθὸν, δύνασθαι εὖ ποιεῖν ȣ̔̃ς ἂν ἐθέλῃς· θέλειν δὲ δεῖ τȣ̀ς ἀξίȣς. Καὶ τὰ μὲν ἄλλα ἐπ' αὐτῷ βȣλομένῳ ἐστὶν ἀφελέσθαι· ἓν δὲ οὐδὲ βȣληθεὶς ποτὲ ἀφαιρήσεται, τὸ πολλȣ̀ς εὖ πεποιηκέναι. Ὥστε εὖ ἴσθι, ὅτι ὐδεμία μείζων ἀνδρὶ, γενομένῳ ποτὲ ἐν δυνάμει, μεταμέλεια, ἢ εἰ, διδόντος τοῦ Θεοῦ, μηδένα ἔδρασεν ἀγαθὸν μηδέν· βȣλομένῳ δὲ δρᾷν, πέπαυται διδȣ̀ς ὁ Θεός. Ἀλλ' οὐ σύ γε ἂν τȣ̃το πώποτε πάθοις· ὐδὲ ἀνιάσῃ, ὅτι οἴχεται ὁ καιρὸς

εἰς ἀνθρώπων εὐεργεσίαν, ἀνεθεὶς φροῦδος ἤδη, καὶ πέπαυται παρὼν ὁ Θεός· ἀλλὰ καὶ παρέσται μὲν ἀεὶ, καὶ στήσεται κατόπιν ἀξίῳ γε ὄντι, καὶ χρωμένῳ ταῖς ἑαυτοῦ χάρισι δεξιῶς. Ἀλλὰ δῆτα, κἂν ἐπίσχῃ πνέων, πάντως ἤδη καὶ πόλεις, καὶ ἔθνη, καὶ ἰδιῶται πολλοὶ, καὶ ᾔσθοντο τῆς σῆς δυνάμεως οὐ σὺν κακῷ, καὶ ἔχουσιν ἀπόμοιραν τῆς σῆς εὐπραξίας. Καὶ οἱ μὲν πόνοι παύσαιντ' ἂν, ἐκστάντος σοῦ, καὶ τὸ κινδυνεύειν, καὶ αἱ φροντίδες· τὸ δὲ συνειδὸς, ὧν τε ἔπαθον, τοῖς παθοῦσι, καὶ σοὶ τῷ πεποιηκότι, ἀεὶ μένει, οὐ μικρὸν οὔτε κτῆμα, οὔτε ἀπόλαυσμα, ἀλλὰ ἀρκοῦν τοῦτο καὶ ἐν δυσπραγίαις ἡδονὰς παρέχειν.

Ταῦτα δὴ παρακελεύομαι πράσσειν τε ἀεὶ, καὶ μὴ ἀποκάμνειν· ὥσπερ οὐδ' ἀποκάμοις ἂν, οὐδὲ ἐστί τις τούτου κόρος· τὰ δ' ἄλλα πράως ὁμοίως καὶ δεξιῶς χρῆσθαι τῇ παρούσῃ δυνάμει· καὶ γὰρ τοῦτο αὐτὸ οὐκ ἄλλον τινὰ ἀνθρώπων, οὐδ' ὅστις τεθνήξεσθαι παραχρῆμα μέλλων, σοῦ κελεύοντος, ἀφεθῇ, ἐκεῖνον μᾶλλον, ἢ σεαυτὸν, εὐφρανεῖ τὸ τοιοῦτον [σὲ] εἶναι τὸν τρόπον. ἔτι γε μὴν καὶ τὸ τοὺς ἀπανταχόθι τιμῆς καὶ λόγου τι-

νὸς τῶν Ἑλλήνων ἀξίυς, καὶ μάλιϛα τοὺς κατὰ τέχνας σπυδαζομένυς, καὶ πάλιν αὖ μάλιϛα τύτων ἁπάντων τοὺς ποιεῖν, ἢ λέγειν τι κατὰ παιδείαν δυναμένυς, μετακαλεῖσθαί σε πανταχόθεν, καὶ χορηγίαις τῶν ἐπιτηδείων ἀφθόνοις, καὶ ταῖς ἄλλαις φιλοφροσύναις τημελεῖν, ὅπως ἀπαλλαγέντες τῶν ἄλλων φροντίδων, ἐπιδιδῶσιν ἀεὶ διὰ σὲ, ϗ προΐωσιν ἐν ταῖς ἑαυτῶν τέχναις· καὶ τὸ τύτων ἀναπιμπλάναι τὸν οἶκον, ἀλλὰ μὴ κολάκων, καὶ βωμολόχων ἀνθρώπων, καὶ τύτυς θεραπεύειν αὐτὸν, ὐχ ὑπ' ἐκείνων θεραπεύεσθαι, μᾶλλον ὁμολογῦντα· ὥσπερ ἐϛὶ, πυνθάνεσθαι πολλάκις, ὅτ' ἐπ' ἐκείνοις μᾶλλόν ἐϛι, τὸ σὲ εἶναι, ὁποῖος εἶ, καὶ τὸ τοιοῦτον ὄντα παρὰ τοῖς ἔπειτα ἀνθρώποις λόγυ τυχεῖν, ἢ ἐπὶ σοὶ, τὸ ἐκείνυς εὐτυχεῖν. ἐκείνοις μέν γε, κἂν ὑπολίπωσιν αἱ παρὰ σοῦ δωρεαὶ, καὶ πλοῦτον αὐτάρκη ϗ δόξαν εἶναι καὶ ἡδονὴν, τὰς τέχνας.

Τίς σ' ὐκ ἂν ἀγάσαιτο καὶ μακαρίσειε τύτων ἁπάντων; καὶ μάλιϛα, ὅτι ὁμολογοῦσιν ἤδη καὶ ἴσασι πάντες εἰς τῦτό σε ἥκοντα τῆς πρὸς τὺς συνόντας σοι φιλανθρωπίας, ὥϛε τὴν

μὲν ἰσχὺν καὶ πάνυ σοι συμβάλλεσθαι· τὸ δὲ ὄνομα μηδὲν ἀντιπράσσειν τὸ τȢ βασιλέως, εἰς τὸ στέργεσθαι ὑπὸ τῶν φίλων. Ἔῤῥωσο.

ΕΠΙΣΤΟΛΗ ΠΕΜΠΤΗ.

ΚΗΦΙΣΟΦΩΝΤΙ.

ΚΑΙ ἀφικόμεθα εἰς Μακεδονίαν, ὦ βέλτιστε Κηφισοφῶν, τό, τε σῶμα Ȣ μοχθηρῶς διατεθέντες, καὶ ὡς οἷόν τε μάλιστα ἦν, ἐπιεικῶς, κομιζόμενοι συντόμως. Καὶ ἀπεδέξατο ἡμᾶς Ἀρχέλαος, ὡς εἰκός τε ἦν, καὶ προσεδοκῶμεν ἡμεῖς, Ȣ δωρεαῖς μόνον, ὧν Ȣδὲν ἐχρῄζομεν ἡμεῖς, ἀλλὰ καὶ φιλοφροσύναις, ὧν Ȣδ' ἂν εὔξαιτό τις μείζȢς παρὰ βασιλέων. Καὶ κατελάβομεν Κλίτωνα ἐῤῥωμένον, καὶ ἔστιν ἡμῖν σὺν ἐκείνῳ τὰ πολλά· καὶ ὅταν τύχῃ, σὺν Ἀρχελάῳ ἄμεμπτος ἡ διαγωγὴ, πρός τε τοῖς ἔργοις, οὐδὲν κωλυόμεθα τοῖς τȢτων γίνεσθαι. Ἀλλὰ πολὺς μὲν ἔγκειται ὁ Κλίτων, πολὺς δὲ καὶ ὁ Ἀρχέλαος ἑκάστοτε, φροντίζειν ἀεί τι καὶ ποιεῖν τῶν εἰωθότων ἀναγκά-

ζοντες· ὥστε ἐμοί γε μισθὸν οὐκ ἀηδῆ μόνον, οὐδὲ ἄπονον, δοκεῖ Ἀρχέλαος ἀναπράσσεσθαι, τῶν τε δωρεῶν, ὧν ἔδωκέ μοι εὐθὺς ἀφικομένῳ, καὶ ὅτι ἑστιᾷ λαμπρότερον, ἢ ἐμοὶ φίλον ἦν, ἑκάστης ἡμέρας.

Περὶ δὲ ὧν ἐπέστειλας ἡμῖν, σὺ μὲν εὖ ποιεῖς ἐπιστέλλων, ἃ δοκεῖς ἡμῖν εἰδέναι διαφέρειν. Ἴσθι μέντοι, μηδὲν μᾶλλον ἡμῖν, ὧν νῦν Ἀγάθων, ἢ Μεσάτος, λέγει, μέλον, ἢ τῶν Ἀριστοφάνους φληναφημάτων οἶσθά ποτε μέλον. Καὶ τούτοις γε ἂν ἀδικήσαις εἰς τὰ μάλιστα, ἀποκρινόμενός ποτε, κἂν ὅλως μὴ παυομένους τῆς ἀναγωγίας αὐτοὺς ὁρᾷς.

Ἢν μέντοι τις τῶν ἀξίων περὶ Εὐριπίδου λέγειν τι καὶ ἀκούειν, αἰτιᾶται ἡμᾶς τῆς πρὸς Ἀρχέλαον ὁδοῦ, ἃ μὲν τὸ πρόσθεν εἴπομεν περὶ τοῦ μὴ δεῖν εἰς Μακεδονίαν ἡμᾶς ἀποδημεῖν ἐπιστάμενος, ἃ δὲ μετὰ ταῦτα ἡμᾶς ἀπηνάγκασε βαδίσαι ἀγνοῶν, τοῦτον δὴ ἄξιον νόμιζε δηλοῦν αὐτῷ, ἅπερ οἶσθά γ', ὦ Κηφισοφῶν· καὶ οὕτως πεπαύσεται ἀγνοῶν τὰς αἰτίας, καὶ ἅμα, ὅπερ εἰκός ἐστι τὸν ἀγνοοῦντα πάσχειν, καταγινώσκων ἡμῶν, ὡς φιλοχρημάτων γενομένων.

Οὐ γάρ πω δὴ πορφύραν καὶ σκῆπτρον φορεῖν, ἢ φρουρὰ λαβόντας ἐν Τριβαλλοῖς ἡγεῖσθαι, ὑπόχους καλουμένους, ὀρεχθῆναί τις ἂν φήσειεν ἡμᾶς, καὶ διὰ τοῦτο δὴ στείλασθαι τὴν πρὸς Ἀρχέλαον ὁδὸν, ἀλλὰ δηλονότι πλούτου ἕνεκα. Εἶτα πῶς ἂν, ὅτε νέοι τε καὶ ὅτε μέσοι τὴν ἡλικίαν ἦμεν, καὶ ὂν, ἔτι ζώσης ἡμῖν τῆς μητρὸς, ἧς ἕνεκα ἂν μόνης ἐβουλόμεθα πλουτεῖν εἴπερ ἄλλως ἐβουλόμεθα, οὐχ ὅπως ἐδιώξαμεν, ἀλλὰ ἀπεωσάμεθα, ἐγκείμενον τὸν αὐτὸν τοῦτον πλοῦτον ἤδη, τηλικοῖσδε οὖσιν ἡμῖν ἱμερτὸν εἶναι εἰκότως ἄν τις νομίσειεν; εἰ μὴ διὰ τοῦτο ἄρα πολλὰ λαβεῖν σὺν ἀδοξίᾳ τέ τινι ἡμετέρᾳ, καὶ οὐδὲ ἀπολαύσει ἔτι οὐδεμιᾷ, ἐπεθυμήσαμεν, ἵνα ἐν βαρβάρῳ γῇ ἀποθάνωμεν, καὶ ἵνα πλείονα Ἀρχελάῳ καταλίποιμεν χρήματα.

Ἔτι δὲ δὴ καὶ προσθείης, ὅτι, ἐπειδὴ τάχιστα ἀφικόμεθα εἰς Μακεδονίαν, ὀλίγαις ὕστερον ἡμέραις, τεσσαράκοντα τάλαντα ἀργυρίου δίδοντος Ἀρχελάου, καὶ ἀγανακτοῦντος, ὅτι οὐ λαμβάνομεν, ἀντέχομεν μὴ λαβεῖν. Τῶν ἄλλων δωρεῶν, ὁπόσα ἢ Κλίτων ἔδωκεν ἡμῖν, ἢ Ἀρχέλαος ἔπεισε λαβεῖν, οὐκ ἔσθ', ὅ, τι ἐν-

ϑάδε ὑπολελείμμεθα. ἀλλ' οἴχονται αὐτὰ φέροντες, οἵπερ καὶ ταύτην τὴν ἐπιϛολὴν φέρουσιν, ὑμῖν τοῖς αὐτόθι ἑταίροις καὶ ἐπιτηδείοις νεμήσοντες ἅπαντα. Τίς δὲ οὕτως εὑρεθείη ἔτι σκαιὸς καὶ βάσκανος τὸν τρόπον, ὅϛις ἂν φιλοχρηματίᾳ με θελχθέντα ταύτην ἀποδημῆσαι ὑπολάβοι τὴν ἀποδημίαν; Ἀλλὰ δήπου ἀλαζονείαν τινὰ, ἢ τοῦ δύνασθαί τι μέγα ἐπιθυμίαν, ἐροῦσιν. Ἀλλ' ἡ μὲν δύναμις ἡμῖν καὶ μένουσιν ἡ παρὰ Ἀρχελάου καὶ πάλαι ἦν. ἄλλως τε καὶ Κλίτων οὐ τοσοῦτον ἐδύνατο μέγα, τοῦ μὴ ἄλλον, ὃν προῃρούμην ἐξ ἀρχῆς, τρόπον βιοῦν ἐμέ· μηδ' ὅπου μὴ ἐθέλοιμι, ἀποθανεῖν· τελευταῖον δὲ καὶ παρέχειν λόγους ἐπὶ τοῖς κακῶς βουλομένοις ἡμᾶς λέγειν. Εἰ δὲ δὴ καὶ δυνάμεώς τινος ὠρέχθημεν, τί ἄλλο ταύτῃ τῇ δυνάμει, ἢ πρῶτον μὲν εἰς τὰ τῆς πόλεως, ἔπειτα εἰς τὰ τῶν φίλων, χρήσασθαι ἐμέλλομεν; Ἀλαζονείας τε ἕνεκα πολὺ ἂν μᾶλλον ἐν ὄψει τῶν τε φίλων, καὶ οὐχ ἥκιϛα τῶν ἐχθρῶν δύνασθαί τι ἠβουλόμεθα. Καὶ μὴν εὐμετάβολον ἐμὲ, οὔτε εἰς τὰ ἐπιτηδεύματα, οὔτε εἰς ὑμᾶς τοὺς φίλους, καὶ οὐχ ἧσσον εἰς τοὺς ἐχθροὺς,

σκοπῶν εἴποι τις ἂν, οἷς ἅπασιν ἐκ νέȣ μέχρι τοῦ νῦν τοῖς αὐτοῖς κέχρημαι, πλὴν ἑνὸς ἀνδρὸς, Σοφοκλέȣς· πρὸς γὰρ δὴ τοῦτον μόνον ἴσασί με τάχα ȣ̓χ ὁμοίως ἀεί τὴν γνώμην ἔχοντα. Ὃν ἐγὼ ἐμίσησα μὲν ȣ̓δέποτε, ἐθαύμασα δὲ ἀεὶ, ἔϛερξα δ' ȣ̓χ ὁμοίως ἀεί. Ἀλλὰ φιλοτιμότερον μέν τινα εἰδέναι, an εἶναι, ποτὲ δόξας ὑπεῖδον· βȣληθέντα δὲ ἐκλύσασθαι τὰ νείκη προθυμότατα ὑπεδεξάμην. Καὶ ἀλλήλȣς μὲν, ἐξ ὅτȣ συνέϐη, ϛεργομέν τε καὶ ϛερξομέν τε καὶ ϛερξομενον· τȣ̀ς δ' ἐμϐάλλοντας ἡμῖν πολλάκις τὰς ὑπονοίας εἶναι ἐκ τȣ̃ ἡμᾶς ἀπεχθάνεσθαι, τὸν ἕτερον θεραπεύοντες, ἄν τι πλεῖον ἔχωσι, διαϐεϐλήμεθα.

Καὶ νῦν, ὦ βέλτιϛε Κηφισοφῶν, οἶδ', ὅτι οὗτοί εἰσιν, οἱ τȣ̀ς περὶ ἡμῶν λόγȣς ἐμϐάλλοντες εἰς τȣ̀ς ὄχλȣς· ἀλλ' ὥσπερ ἀεὶ ἄπρακτοι αὐτῶν αἱ κακαὶ γλῶσσαι ἐγένοντο, καὶ γέλωτα ἐξ αὐτῶν καὶ μῖσος, ȣ̓δὲν πλέον, ὠφλίσκανον, καὶ νῦν ἴσθι, ὅτι ȣ̓κ ἄπρακτοι μόνον, ἀλλὰ καὶ ἐπὶ κακῷ σφισιν ἔσονται. Σὺ μέντοι εὖ ποιεῖς περὶ τȣ́των ἡμῖν γράφων, ἐπειδήπερ οἴει ἡμῖν διαφέρειν· ἀλλ' ὥσπερ εὖ

ποιεῖς γράφων, οὕτως ἀδικεῖν φήσαιμ' ἂν ἡμᾶς, ἀντιλέγοντα ὑπὲρ αὐτῶν τοῖς ἐκ ἀξίοις. Ἔῤῥωσο.

Τῶν Εὐριπίδȣ Ἐπιϛολῶν Τέλος.

EURIPIDIS

FRAGMENTA

EX RECENSIONE

SAMUELIS MUSGRAVE.

FRAGMENTA.

EX ÆGEO.

1. . . . τίς σε, μᾶτερ, ἐν δεκάτῳ τόκου
Ὠνόμασε; ——
2. Ἔστι καὶ πταίσαντ' ἀρετὰν
Ἀποδείξασθαι θανάτῳ.
3. Εἰ μὴ καθέξῃς γλῶσσαν, ἔστι σοι κακά.
4. Τί γὰρ πατρῴας ἀνδρὶ φίλτερον χθονός;
5. Δειλῶν γυναῖκες δεσποτῶν θρασύστομοι.
6. Ἀνδρὸς δ' ὑπ' ἐσθλοῦ καὶ τυραννεῖσθαι καλόν.
7. Ἦ που κρεῖσσον τῆς εὐγενείας
Τὸ καλῶς πράσσειν.
8. Πέφυκε γάρ πως παισὶ πολέμιον γυνὴ
Τοῖς πρόσθεν, ἡ ζυγεῖσα δευτέρῳ πόσει.
9. —— —— κατθανεῖν δ' ὀφείλεται
Καὶ τῷ κατ' οἴκους ἐκτὸς ἡμένῳ πόνων.
10. Ποίαν σε φῶμεν γαῖαν ἐκλελοιπότα
Πόλει ξενοῦσθαι; γῆ δέ τις, πάτρας θ' ὅρος;
Τίς ἐσθ' ὁ φύσας; τοῦ κεκήρυξαι πατρός;
11. Ἀντραῖος.

EX ÆOLO.

1. Τί δ' αἰσχρόν, ἢν μὴ τοῖσι χρωμένοις δοκῇ;
2. Κακῆς ἀπ' ἀρχῆς γίνεται τέλος κακόν.
3. Ὀργῇ γὰρ ὅστις εὐθέως χαρίζεται,
Κακῶς τελευτᾷ· πλεῖστα γὰρ σφάλλει βροτούς.
4. Σιγᾶν φρονοῦντα, κρείσσον' εἰς ὁμιλίαν
Πεσόντα· τῷ δ' ἀνδρὶ μήτ' εἴην φίλος
Μήτε ξυνείην, ὅστις αὐταρκὴς φρονεῖν
Πέποιθε, δούλους τοὺς φίλους ἡγούμενος.
5. Παῖδες, σοφοῦ πρὸς ἀνδρός, ὅστις ἐν βραχεῖ
Πολλοὺς λόγους οἷός τε συντέμνειν καλῶς.
6. Δοκεῖτ' ἂν οἰκεῖν γαῖαν, εἰ πένης ἅπας
Λαὸς πολιτεύοιτο πλουσίων ἄτερ;
Οὐκ ἂν γένοιτο χωρὶς ἐσθλὰ καὶ κακά·
Ἀλλ' ἐστί τις σύγκρασις, ὥστ' ἔχειν καλῶς·
Ἃ μὴ γὰρ ἐστὶ τῷ πένητ', ὁ πλούσιος
Δίδωσιν· ἃ δ' οἱ πλουτοῦντες οὐ κεκτήμεθα,
Τοῖσιν πένησι χρώμενοι τιμώμεθα.
7. Λαμπροὶ δ' ἐν αἰχμαῖς Ἄρεος, ἔν τε συλλόγοις,
Μή μοι τὰ κομψὰ ποικίλοι γενοίατο,
Ἀλλ', ὧν πόλει δεῖ, μεγάλα βουλεύοντες εὖ.
8. Τὰ πόλλ' ἀνάγκη διαφέρει τολμήματα.
9. Βραχύ τοι σθένος ἀνέρος,
Ἀλλὰ ποικιλίᾳ πραπίδων
Δεινὰ μὲν φῦλα πόντου
Χθονίων τ' ἀερίων τε
Δάμναται παιδεύματα.
10. Τῇ δ' Ἀφροδίτῃ πόλλ' ἔνεστι ποικίλα·
Τέρπει τε γὰρ μάλιστα καὶ λυπεῖ βροτούς·
Τύχοιμι δ' αὐτῆς, ἡνίκ' ἐστὶν εὐμενής.
11. Κακὸν γυναῖκα πρὸς νέαν ζεῦξαι νέον·
Μακρὰ γὰρ ἰσχὺς μᾶλλον ἀρσένων μένει,
Θήλεια δ' ἥβη θᾶσσον ἐκλείπει δέμας.
12. Γυναῖκα δ' ὅστις παύσεται λέγων κακῶς,
Δύστηνος ἆρα, κοὐ σοφὸς κεκλήσεται.
13. Τὴν δ' εὐγένειαν πρὸς θεῶν μή μοι λέγε·
Ἐν χρήμασιν τόδ' ἐστί· μὴ γαυροῦ, πάτερ·
Κύκλῳ γὰρ ἕρπει· τῷ μὲν ἔσθ', ὁ δ' οὐκ ἔχει.
Κοινοῖσι δ' αὐτοῖς χρώμεθ'· ᾧ δ' ἂν ἐν δόμοις
Χρόνον ξυνοικῇ πλεῖστον, οὗτος εὐτυχής.
14. Μὴ πλοῦτον εἴπῃς· οὐχὶ θαυμάζω θεόν,
Ὃν χ' ὡ κάκιστος ῥᾳδίως ἐκτήσατο.

15. Γλυκεῖα γάρ μοι φροντὶς οὐδαμοῦ βίου.

16. Ἀεὶ τὸ μὲν ζῇ, τὸ δὲ μεθίσταται κακὸν,
Τὸ δ' ἐκπέφηνεν αὐτίκ' ἐξ ἀρχῆς νέον.

17. Μοχθεῖν ἀνάγκη· τὰς δὲ δαιμόνων τύχας,
Ὅστις φέρει κάλλιστ', ἀνὴρ οὗτος σοφός.

18. Φεῦ, φεῦ, παλαιὸς αἶνος ὡς καλῶς ἔχει·
Γέροντες οὐδέν ἐσμεν ἄλλο, πλὴν ὄχλος
Καὶ σχῆμ'· ὀνείρων δ' ἕρπομεν μιμήματα.
Νοῦς δ' οὐκ ἔτ' ἐστίν· οἰόμεσθα δ' εὖ φρονεῖν.

19. Ἀλλ' ἦ τὸ γῆρας τὴν Κύπριν χαίρειν ἐᾷ,
Ἥ τ' Ἀφροδίτη τοῖς γέρουσιν ἄχθεται.

20 Ἴδοιμι δ' αὐτῶν ἔκγον' ἄρρεν' ἀρρένων,
Πρῶτον μὲν εἶδος ἄξιον τυραννίδος.
Πλείστη γὰρ ἀρετὴ τοῦθ' ὕπαρχον ἐν βίῳ,
Τὴν ἀξίωσιν τῶν καλῶν τὸ σῶμ' ἔχειν.

21. Οἴμοι· τίς ἀλγεῖν οὐκ ἐπίσταται κακοῖς;
Τίς ἂν κλύων τῶνδ' οὐκ ἂν ἐκβάλοι δάκρυ;

22. Κλῆρος Ἑρμοῦ.

23. Ἕλλην γάρ, ὡς ἔοικε, γίνεται Διός.
Τοῦ δ' Αἴολος παῖς, Αἰόλου δὲ Σίσυφος,
Ἀθάμας τε Κρηθεύς θ', ὅς τ' ἐπ' Ἀλφειοῦ ῥοαῖς
Θεοῦ μανεὶς ἔρριψε Σαλμωνεὺς φλόγα.

EX ALCMÆONE τῷ διὰ Ψωφῖδος.

1. Οὐδὲ πυνθάνεσθε ταῦτ', ὦ παρθένοι, τἀν τῇ πόλει;

2. Ταπεινὰ γὰρ χρὴ τοὺς κακῶς πεπραγότας
Λέγειν, ἐς ὄγκον δ' οὐκ ἄνω βλέπειν τύχης.

3. Φεῦ, φεῦ, τὰ μεγάλα, μεγάλα καὶ πάσχει κακά.

4. Μέτεστι τοῖς δούλοισι δεσποτῶν νόσου.

5. Ὅστις δὲ δούλῳ φωτὶ πιστεύει βροτῶν,
Πολλὴν παρ' ἡμῖν μωρίαν ὀφλισκάνει.

6. Γυναῖκα κ' ὠφέλειαν
Καὶ νόσον ἀνδρὶ φέρειν μεγίσταν
Ἐδίδαξα τῷ ἐμῷ λόγῳ.

7. Τὰ τῶν τεκόντων ὡς μετέρχεται θεὸς
Μιάσματ'.

8. Ὦ παῖ Κρέοντος, ὡς ἀληθὲς ἦν ἄρα,
Ἐσθλῶν ἀπ' ἀνδρῶν ἐσθλὰ γίγνεσθαι τέκνα,
Κακῶν δ' ὅμοια τῇ φύσει τῇ τοῦ πατρός.

9. Ὁρᾶτε τὸν τύραννον, ὡς ἄπαις γέρων
Φεύγει· φρονεῖν δὲ θνητὸν ὄντ' οὐ χρὴ μέγα.

10. Ἢ τί πλέον εἶναι παῖδας ἀνθρώποις, πάτερ,
Εἰ μὴ 'πὶ τοῖς δεινοῖσιν ὠφελήσομεν;

11. Καὶ σ', ὦ γεραιέ, τόν τε παῖδα δοὺς ἐμοὶ
Γαμβρὸν νόμιζε, καὶ πατὴρ, σωτήρ τ' ἐμός.

12. Γυναῖκες, ὁρμήθητε, μηδ' ἀτιμίαν
Σκυθρόν τις ὑμῶν [καταχεῖ.]

13. ——ταῦτα γὰρ σκυθροὺς ὁρᾶν
Ἡμᾶς ἀνάγκη τοὺς νομίζοντας τέχνην.

14. Τί; τοῦ τεκόντος, οὐδὲν ἐντρέπῃ πατρός;

15. Ἥκω δ' ἀτενὴς ἀπ' οἴκων.

16. Μάλιστα μέν μ' ἐχρῆν ἐπισκήψας πατὴρ.
Ὅθ' ἅρματ' ἀστέβαινεν εἰς Θήβας ἰών.

17. Ὁ σοὶ χρυσοῦν ἀπώλεσ', Οἰδίπους δ' ἐμὲ
Χρυσοῦν ἐνεγκὼν ὅρμον εἰς Ἄργους πόλιν.

EX ALCMENA.

1. Οὐ γάρ ποτ' εἴων Σθένελον, [εἰς τὸ] εὐτυχὲς
Χωροῦντα τοῖχον, τῆς δίκης, [σ'] ἀποστερεῖν.

2. Πολὺς δ' ἀνεῖρπε κισσὸς, εὐφυὴς κλάδος,
Χελιδόνων μουσεῖα.

3. Ἀτρέκεια δ' ἄριστον ἀνδρὸς
Ἐν πόλει δικαίου πέλει.

4. Ἴστω δ' ἄφρων ὢν, ὅστις ἄνθρωπος γεγὼς
Δῆμον κωλύει, χρήμασιν γαυρούμενος.

5. Ἀεὶ δ' ἀρέσκειν τοῖς κρατοῦσι· ταῦτα γὰρ
Δούλοις ἄριστα· κἀφ' ὅτῳ τεταγμένος
Εἴη τις, ἁνδάνοντα τοῖς φίλοις ποιεῖν.

6. Δεινόν τι τέκνων φίλτρον ἔθηκεν
Θεὸς ἀνθρώποις.

7. Ἀλλ' οὐδὲν ηὐγένεια πρὸς τὰ χρήματα·
Τὸν γὰρ κάκιστον πλοῦτος εἰς πρώτους ἄγει.

8. Σκαιόν τι χρῆμα πλοῦτος, ἥ τ' ἀπειρία.

9. Ἀλλ' οὐ γὰρ ὀρθῶς ταῦτα· γενναίως ἴσως
Ἔπραξας· αἰνεῖσθαι δὲ δυστυχῶν ἐγὼ
Μισῶ· λογισμὸς τοὔργον οὐ νικᾷ ποτέ.

10. Ἀλλ' εὐφέρειν χρὴ συμφορὰς τὸν εὐγενῆ.

11. Θάρσει· τάχ' ἂν γένοιτο· πολλὰ τοῖς θεοῖς
Κἀκ τῶν ἀέλπτων εὔπορ' ἀνθρώποις πέλει.

12. Σοφώτεροι γὰρ συμφορὰς τὰς τῶν πέλας
Πάντες διαιρεῖν, ἢ τύχας τὰς οἴκοθεν.

13. Πόθεν δὲ τεύχη πανὸν ἐξηῦρες λαβών;

14. Τὸν εὐτυχοῦντα χρὴ σοφὸν πεφυκέναι.

EX ALEXANDRA.

1. Καὶ χρόνου προὔβαινε πόδα.

2. Χρόνος δὲ δείξει σ', ᾧ τεκμηρίῳ μαθὼν
Ἢ χρηστὸν ὄντα γνώσομαί σε γ', ἢ κακόν.

3 Ἄναξ, διαβολαὶ δεινὸν ἀνθρώποις κακόν·
Ἀγλωσσίᾳ δὲ πολλάκις ληφθεὶς ἀνήρ,

Δίκαια λέξας, ἧσσον εὐγλώσσου φέρει.
4. Ὅθεν δὲ νικᾷν χρὴ σε, δυστυχεῖς, ἄναξ,
Ὅθεν δέ σ' οὐ χρῆν, εὐτυχεῖς· δούλοισι γὰρ
Τοῖς σοῖσι νικᾷς, τοῖς δ' ἐλευθέροισιν, οὔ.
5. Οἴμοι, θανοῦμαι διὰ τὸ χρήσιμον φρενῶν,
Ὃ τοῖσιν ἄλλοις γίγνεται σωτηρία.
6. Σοφὸς μὲν οὖν εἶ, Πρίαμ', ὅμως δέ σοι
 λέγω·
Δούλου φρονοῦντος μᾶλλον, ἢ φρονεῖν χρεὼν
Οὐκ ἔστιν ἄχθος μεῖζον, οὐδὲ δώμασιν
Κτῆσις κακίων, οὐδ' ἀνωφελεστέρα.
7. Ὦ παγκάκιστοι, καὶ τὸ δοῦλον οὐ λόγῳ
Ἔχοντες, ἀλλὰ τῇ τύχῃ κεκτημένοι.
8. Ἤλεγχον· οὕτω γὰρ κακὸν δοῦλον γένος.
Γαστὴρ ἅπαντα, τοὐπίσω δ' οὐδὲν σκοπεῖ.
9. Δούλων, ὅσοι φιλοῦσι δεσποτῶν γένος,
Πρὸς τῶν ὁμοίων πόλεμον αἱροῦνται μέγαν.
10. ——— δούλους γὰρ οὐ
Καλὸν πεπᾶσθαι κρείσσονας τῶν δεσποτῶν.
11. Ἐκ τῶν ὁμοίων οἱ κα..οὶ γαμοῦσ' ἀεί.
12. Περισσόμυθος ὁ λόγος εὐγένειαν
Εἰ βρότειον εὐλογήσομεν.
Τὸ γὰρ πάλαι καὶ πρῶτον ὅτ' ἐγενόμεθα,
Διὰ δ' ἔκρινεν ἁ τεκοῦσα γᾶ βροτούς,
Ὁμοίαν χθὼν ἅπασιν ἐξεπαίδευσεν ὄψιν.
Ἴδιον οὐδὲν ἔχομεν· μία δὲ γονὰ
Τό τ' εὐγενὲς καὶ τὸ δυσγενές.
Νόμῳ δὲ γαῦρον αὐτὸ κραίνει χρόνος.
Τὸ φρόνιμον, εὐγένεια· καὶ τὸ συνετὸν
Ὁ Θεὸς δίδωσιν, οὐχ ὁ πλοῦτος.
13. Οὐκ ἔστιν ἐν κακοῖσιν εὐγένεια,
Παρ' ἀγαθοῖσι δ' ἀνδρῶν.
14. Ἄδικον δ' ὁ πλοῦτος, πολλὰ δ' οὐκ
 ὀρθῶς ποιεῖ.
15. Κακόν τι παίδευμ' ἦν ἄρ' εἰς εὐαν-
 δρίαν
Ὁ πλοῦτος ἀνθρώποισιν, αἵ τ' ἄγαν τρυφαί.
Πενία δὲ δύστηνον μὲν, ἀλλ' ὅμως τρέφει
Μοχθοῦντ' ἀμείνω τέκνα καὶ δραστήρια.
16. Ὥστ' οὔ τις ἀνδρῶν εἰς ἅπαντ' εὐδαι-
 μονεῖ.
17. Πάντων τὸ θανεῖν· τὸ δὲ κοινὸν ἄχος
Μετρίως ἀλγεῖν σοφία μελετᾷ.
18. Ἐκάβη, τὸ θεῖον ὡς ἄελπτον ἔρχεται
Θνητοῖσιν, ἕλκει δ' οὔποτ' ἐκ ταυτοῦ τύ-
 χας.
19. Α. Οἶδ', ἀλλὰ κάμπτειν τῷ χρόνῳ
 λύπας χρεών.
Β. Χρὴ τοῦτο δ' εἰπεῖν ῥᾷον, ἢ φέρειν κακά.
20. Παλαιὰ καινοῖς δακρύοις οὐ χρὴ στένειν.
21. Ἄρρητος κόρη.
22. Ἄκραντα γάρ μ' ἔθηκε θεσπίζειν θεὸς,
Καὶ πρὸς παθόντων, κἀν κακοῖσι κειμένων
Σοφὴ κέκλημαι, πρὶν παθεῖν δὲ, μαίνομαι.
23. . . . Δεῖ δ' . . . .
Οὐ ταῖς φήμαις τῶν ὀνομάτων ἐξελέγ-
 χεσθαι τρόπους.

EX ALOPA, vel CERCYONE.

1. Οὐ μὴ σύ γ' ἡμᾶς τοὺς τεκόντας ὑβρίσεις
2. Γυνὴ γυναικὶ σύμμαχος πέφυκέ πως.
3. Ἐγὼ δ', ὃ μὲν μέγιστον, ἄρξομαι λέγειν·
Ἐκ τοῦδε πρῶτον· πατρὶ πείθεσθαι χρεὼν
Παῖδας, νομίζειν τ' αὐτὸ τοῦτ' εἶναι δίκην.
4. Ὁρῶ μὲν ἀνδρῶν τόνδε γυμνάδα στόλον,
Στείχοντα θεωρὸν, ἐκ τρόχων πεπαυμένον.
5. Οὐδεὶς ἔπαινον ἡδοναῖς ἐκτήσατο.
6 — γέμουσαν κύματος θεοσπόρου.
7. Πλήσας δὲ νηδὺν, οὐδ' ὄναρ κατ' εὐφρόνην
Φίλοις ἔδειξεν αὐτόν.

EX ANDROMEDA.

1. Ἐκθεῖναι κήτει φορβάν.
2. Ποῖα λίβας σειρήν.
3 Σὰ γὰρ ταῦτα πάντα.
4. Ἐκεῖσε, δεῦρο.
5. Ὦ παρθέν', εἰ σώσαιμί σ', εἴσῃ μοι
 χάριν;
6. Ἄγου με, ὦ ξένε, εἴτε δμωΐδ' ἐθέλεις,
 εἴτ' ἄλοχον.
7. Σὺ δ' ὦ τύραννε θεῶν τε κἀνθρώπων,
 Ἔρως,
Ἢ μὴ δίδασκε τὰ καλὰ φαίνεσθαι καλὰ,
Ἢ τοῖς ἐρῶσιν, ὧν σὺ δημιουργὸς εἶ,
Μοχθοῦσι μόχθους εὐτυχῶς συνεκπόνει,
Καὶ ταῦτα μὲν δρῶν τίμιος θεοῖς ἔσῃ·
Μὴ δρῶν δ' ὑπ' αὐτοῦ τοῦ διδάσκεσθαι
 φιλεῖν
Ἀφαιρεθήσῃ χάριτας, αἷς τιμῶσί σε.
8. Τὸ δαιμόνιον οὐχ ὁρᾷς
Ὅπῃ μοίρας διεξέρχεται,
Στρέφει δ' ἄλλους
Ἄλλως εἰς ἁμέραν.
9. Εὔκλειαν ἔλαβον οὐκ ἄνευ πολλῶν
 πόνων
10. Οὐκ αἰσχρὸν οὐδὲν τῶν ἀναγκαίων βροτοῖς,
Ἀλλ' ἡδύ τοι σωθέντα μεμνῆσθαι πόνων.
11. Νεότης μ' ἐπῆρε καὶ σθένος τοῦ νοῦ πλέον.
12. Ὅσοι γὰρ εἰς ἔρωτα πίπτουσιν βροτῶν,
Ἐσθλῶν ὅταν τύχωσι τῶν ἐρωμένων,
Οὐκ ἔστι ποίας λείπεται τόθ' ἡδονῆς.
13. Ἔρωτα δεινὸν ἔχομεν, ἐκ δὲ τῶν λόγων
Ἑλοῦ τὰ βέλτισθ', ὡς ἄπιστον ἔστ' ἔρως,
Κἀν τῷ κακίστῳ τῶν φρενῶν οἰκεῖν θέλει.

14. Τῶν γὰρ πλούτων οὐδ' ἄριστος
Γενναῖον λέχος εὑρεῖν.
15. Ὦ τλῆμον, ὡς σοὶ τὰς τύχας μὲν ἀσθενεῖς
Ἔδωχ' ὁ δαίμων, μέγα φρονοῦσι δ' οἱ λόγοι.
16. Χρυσὸν μάλιστα βούλομ' ἐν δόμοις ἔχειν·
Καὶ δοῦλος ὢν γὰρ τίμιος πλουτῶν ἀνήρ·
Ἐλεύθερος δὲ, χρεῖος ὢν, οὐδὲν σθένει.
Χρυσοῦ νόμιζε σαυτὸν οὕνεκ' εὐτυχεῖν.
17. — — Χρήμασιν γὰρ εὐτυχῶ,
Ταῖς συμφοραῖσι δ' ὡς ὁρᾷς, οὐκ εὐτυχῶ.
18. Ἦ που τὸ μέλλον ἐκφοβεῖ καθ' ἡμέραν,
Ὡς τοῦ γε πάσχειν τοὔπιον μεῖζον κακόν.
19. Ὁ μὲν ὄλβιος ἦν· τὸν δ' ἀπέκρυψεν
Θεὸς ἐκ κείνων τῶν ποτε λαμπρῶν
Νεύει βίοτος,
Νεύει δὲ τύχα κατὰ πνεῦμ' ἀνέμων.
20. Οὐκ ἔστιν ὅστις εὐτυχὴς ἔφυ βροτῶν,
Ὃν μὴ τὸ θεῖον ὡς τὰ πολλὰ συντελεῖ.
21. Τὰς συμφορὰς γὰρ τῶν κακῶς πεπραγότων
Οὐ πώποθ' ὕβρισ', αὐτὸς ὀρρωδῶν παθεῖν.
22. Συνάλγησον, ὡς ὁ κάμνων
Δακρύων μεταδοὺς
Ἔχει κουφότητα μόχθων.
23. Α. Τὸ ζῆν ἀφέντες, τὸ κατὰ γῆν τιμῶσί σου.
Β. Κενοί γ'· ὅταν γὰρ ζῇ τις, εὐτυχεῖν χρεών.
24. Ἐγὼ δὲ παῖδας οὐκ ἐῶ νόθους λαβεῖν·
Τῶν γνησίων γὰρ οὐδὲν ὄντες ἐνδεεῖς,
Νόμῳ νοσοῦσιν· ὅ σε φυλάξασθαι χρεών.
25. Σιγᾷς; Σιωπὴ δ' ἄπορος ἑρμηνεὺς λόγων.
26. Τήν τοι δίκην λέγουσι παῖδ' εἶναι Διὸς,
Ἐγγύς τε ναίειν τῆς βροτῶν τιμωρίας.
27. --- πᾶς δὲ ποιμένων ἔρρει λεὼς,
Ὁ μὲν γάλακτος κίσσινον φέρων σκύφος,
Πόνων ἀναψυκτῆρ', ὁ δ' ἀμπέλων γάνος.
28. Ὦ νὺξ ἱερὰ,
Ὡς μακρὸν ἵππευμα διώκεις;
Ἀστεροειδέα νῶτα διφρεύουσ'
Αἰθέρος ἱερᾶς
Τοῦ σεμνοτάτου δι' Ὀλύμπου.
29. ------ παρθένου τ' εἰκόνα τινὰ
Ἐξ αὐτομόρφων λαΐνων τειχισμάτων
Σοφῆς ἄγαλμα χειρός. - - - -

EX ANTIGONA.

1. Ἦν Οἰδίπους τὸ πρῶτον εὐτυχὴς ἀνήρ·
Εἶτ' ἐγένετ' αὖθις ἀθλιώτατος βροτῶν.
2. Οὐκ ἔστι Πειθοῦς ἱερὸν ἄλλο, πλὴν λόγος,
Καὶ βωμὸς αὐτῆς ἐστιν ἀνθρώπου φύσις.
3. Δεῖ, τοῖσι πολλοῖς τὸν τύραννον ἀνδάνειν.
4. Οἰκεῖος ἀνθρώποισι γίγνεσθαι φιλεῖ
Πόλεμος ἐν ἀστοῖς, ἂν διχοστατῇ πόλις.
5. Οὔτ' εἰκὸς ἄρχειν, οὔτ' ἐχρῆν εἶναι νόμον·
Τύραννον εἶναι· μωρία δὲ καὶ θέλειν,
Ὃς τῶν ὁμοίων βούλεται κρατεῖν μόνος.
6. Ἀνδρὸς δ' ἐρῶντος εἰς Κύπριν νεανίου
Ἀφύλακτος ἡ τήρησις· ἂν γὰρ φαῦλος ᾖ
Τἄλλ', εἰς ἔρωτα πᾶς ἀνὴρ σοφώτερος.
Ἢν δ' ἂν προσῆται Κύπρις, ἥδιστον λαβεῖν.
7. Ἔρων τὸ μαίνεσθαι δ' ἄρ' ἦν ἔρως βροτοῖς.
8. Ζευχθεὶς γάμοισιν οὐκέτ' ἔστ' ἐλεύθερος,
Ἀλλ' ἕν γ' ἔχει τι χρηστόν· ἐν κύδει γὰρ ὢν
Ἐσθλῷ δέδοικε μηδὲν ἐξαμαρτάνειν.
9. Ὀνόματι μεμπτὸν τὸ νόθον, ἡ φύσις δ' ἴση.
10. Ἡ γὰρ δόκησις πατράσι παῖδας ἐοικέναι
Τὰ πολλὰ φαύλη γίνεται τέκνων πέρι.
11. Τὸ μωρὸν αὐτῷ τοῦ πατρὸς νόσημ' ἔνι,
Φιλεῖ γὰρ οὕτως ἐκ κακῶν εἶναι κακούς.
12. Ἀνδρὸς φίλου δὲ χρυσὸς ἀμαθίας μέτα
Ἄχρηστος, εἰ μὴ κἀρετὴν ἔχων τύχῃ.
13. -- ἐκ' ἄκραν ἥκομεν γραμμὴν κακῶν.
14. Μὴ οὖν ἔθελε λυπεῖν σαυτὸν· εἰδὼς, πολλάκις
Ὅτι τὸ λυποῦν ὕστερον χαρὰν ἄγει.
15. Ὅστις δὲ πρὸς τὸ πίπτον εὐλόγως φέρει
Τὸν δαίμον', οὗτος ἧσσον ἔστ' ἀνόλβιος.
16. Θάνατος γὰρ ἀνθρώποισι νεικέων τέλος
Ἔχει· τί γὰρ τοῦδ' ἐστὶ μεῖζον ἐν βροτοῖς;
Τίς γὰρ πετραῖον σκόπελον οὐτάζων δορὶ
Ὀδύναισι δώσει; τίς δ' ἀτιμάζων νέκυς
Εἰ μηδὲν αἰσθάνοιντο τῶν παθημάτων;
17. Ὦ παῖ Διώνης, ὡς ἔφυς μέγας θεὸς
Δεινός τε, θνητοῖς γ' οὐδαμῶς ὑποστατός.
18. Ἐπὶ χρυσεόνωτον ἀσπίδα τὰν
Καπανέως.

EX ANTIOPA.

1. Τὸν μὲν κικλήσκει Ζῆθον· ἐζήτησε γὰρ
Τοκοῖσιν εὐμάρειαν ἡ τεκοῦσά νιν.
2. Δίκα τοι δίκα χρόνιος· ἀλλ' ὅμως
ὑποπεσοῦσ' ἔλαθεν, ὅταν ἔχῃ τιν' ἀσεβῆ
βροτῶν.
3. Τήν τοι δίκην λέγουσι παῖδ' εἶναι χρόνου

Δείκνυσι δ' ἡμῶν ὅστις ἐστὶν ἂν κακός.
4. Τρεῖς εἰσὶν ἀρεταὶ, ἃς χρή σ' ἀσκεῖν, ὦ τέκνον,
Θεούς τε τιμᾷν, τούς τε θρέψαντας γονεῖς,
Νόμους τε κοινοὺς Ἑλλάδος· καὶ ταῦτα δρῶν
Κάλλιστον ἕξεις στέφανον εὐκλείας ἀεί.
5. Τὸ δ' ἀσθενές μου καὶ τὸ θῆλυ σώματος
Κακῶς ἐμέμφθης· καὶ γὰρ, εἰ φρονεῖν ἔχω,
Κρεῖσσον τόδ' ἐστὶ καρτεροῦ βραχίονος.
6. Ἐγὼ μὲν οὖν ᾄδοιμι καὶ λέγοιμί τι
Σοφὸν, ταράσσων μηδὲν, ὧν πόλις νοσεῖ.
7. Καὶ μὴν ὅσοι μὲν σαρκὸς εἰς εὐεξίαν
Ἀσκοῦσι βίοτον, ἢν σφάλωσι χρημάτων,
Κακοὶ πολῖται. δεῖ γὰρ ἄνδρ' εἰθισμένον,
Ἀκόλαστον ἦθος γαστρὸς ἐν αὐτῷ μένειν.
8. Εἰ δ' εὐτυχῶν τις, καὶ βίον κεκτημένος,
Μηδὲν δόμοισι τῶν καλῶν πειράσεται,
Ἐγὼ μὲν οὔποτ' αὐτὸν ὄλβιον καλῶ·
Φύλακα δὲ μᾶλλον χρημάτων εὐδαίμονα.
9. Πολλοὶ δὲ θνητῶν τοῦτο πάσχουσιν κακόν·
Γνώμῃ φρονοῦντες οὐ θέλουσ' ὑπηρετεῖν
Ψυχῇ, τὰ πολλὰ πρὸς φίλων νικώμενοι.
10. Κόσμος δὲ σιγῆς στέφανος ἀνδρὸς οὐ κακοῦ·
Τὸ δ' ἐκλαλοῦν, οὐθ' ἡδονῆς μὲν ἅπτεται,
Κακὸν δ' ὁμίλημ', ἀσθενὲς δὲ καὶ πόλει.
11. Ὁ δ' ἥσυχος φίλοισί τ' ἀσφαλὴς φίλος,
Πόλει τ' ἄριστος, μὴ τὰ κινδυνεύματα
Αἰνεῖτ'· ἐγὼ γὰρ οὔτε ναυτίλον φιλῶ
Τολμῶντα λίαν, οὔτε προστάτην χθονός.
12. Γνώμῃ γὰρ ἀνδρὸς εὖ μὲν οἰκοῦνται πόλεις,
Εὖ δ' οἶκος, εἴς τ' αὖ πόλεμον ἰσχύει μέγα.
Σοφὸν γὰρ ἓν βούλευμα τὰς πολλὰς χέρας
Νικᾷ· σὺν ὄχλῳ δ' ἀμαθία πλεῖον κακόν.
13. Ὅστις δὲ πράσσει πολλὰ, μὴ πράσσειν παρὸν,
Μωρὸς, παρὸν ζῆν ἡδέως ἀπράγμονα.
14. Οὐ χρή ποτ' ἄνδρα δοῦλον ὄντ' ἐλευθέρας
Γνώμας διώκειν, οὐδ' ἐς ἀργίαν βλέπειν.
15. --- τὸ δοῦλον οὐχ ὁρᾷς ὅσον κακόν;
16. Φεῦ, φεῦ· τὸ δοῦλον ὡς ἁπανταχῇ γένος
Πρὸς τὴν ἐλάσσω μοῖραν ὥρισεν θεός;
17. Κῆδος καθ' αὑτὸν τὸν σοφὸν κτᾶσθαι χρεών.
18. ----- πᾶσι δ' ἀγγέλλω βροτοῖς
Ἐσθλῶν ἀπ' ἀνδρῶν εὐγενῆ σπείρειν τέκνα,
Οὐ γάρ ποτ' ἂν πράξειαν ἐς τέλος κακῶς.
19. Εἰ νοῦς ἔνεστι· εἰ δὲ μὴ, τί δεῖ καλῆς
Γυναικὸς, εἰ μὴ τὰς φρένας χρηστὰς ἔχοι;
20. Οὐ σωφρονίζειν ἔμαθον, αἰδεῖσθαι δὲ χρὴ,
Γύναι, τό τε λίαν, καὶ φυλάσσεσθαι φθόνον.
21. Φεῦ, φεῦ, βρότειαι πημάτων ὅσαι τύχαι,
Ὅσαι τε μορφαί; τέρμα δ' οὐκ εἴποι τις ἄν.
22. Πόλλ' ἐστὶν ἀνθρώποισιν, ὦ ξένε, κακά.
23. Ἔχει λόγον καὶ τοῦτο τῶν πολλῶν βροτῶν,
Δεῖ τοὺς μὲν εἶναι δυστυχεῖς, τοὺς δ' εὐτυχεῖς.
24. Φρονῶ δ', ἃ πάσχω, καὶ τόδ' οὐ σμικρὸν κακόν·
Τὸ μὴ εἰδέναι γὰρ ἡδονὴν ἔχει τινὰ
Νοσοῦντα· κέρδος δ' ἐν κακοῖς ἀγνωσία.
25. Τοῖος δὲ θνητῶν τῶν ταλαιπώρων βίος.
Οὐδ' εὐτυχεῖ τὸ πάμπαν, οὔτε δυστυχεῖ·
Εὐδαιμονεῖ τε κ' αὖθις οὐκ εὐδαιμονεῖ.
Τί δῆτ', ἐν ὄλβῳ μὴ σαφεῖ βεβηκότες,
Οὐ ζῶμεν ὡς ἥδιστα μὴ λυπούμενοι;
26 Ῥίψον τὴν λύραν, καὶ κέχρησ' ὅπλοις.
27. Κόρος δὲ πάντων· καὶ γὰρ ἐκ καλλιόνων
Λέκτροις ἐν αἰσχροῖς εἶδον ἐκπεπληγμένους·
Δαιτὸς δὲ πληρωθείς τις ἄσμενος πάλιν
Φαύλῃ διαίτῃ προσβαλὼν ἥσθη στόμα.
28. Ἐκ παντὸς ἄν τις πράγματος δισσῶν λόγων
Ἀγῶνα θεῖτ' ἂν, εἰ λέγειν εἴη σοφός.
29. Ἀνὴρ γὰρ ὅστις, εὖ βίον κεκτημένος,
Τὰ μὲν κατ' οἴκους ἀμελείᾳ παρείασεν,
Μόλπαισι δ' ἡσθεὶς τοῦτ' ἀεὶ θηρεύεται,
Ἀργὸς μὲν οἴκοις καὶ πόλει γενήσεται,
Φίλοισι δ' οὐδείς· ἡ φύσις γὰρ οἴχεται,
Ὅταν γλυκείας ἡδονῆς ἥσσων τις ᾖ.
30. ——— οὐδὲ γὰρ λάθρα δοκῶ,
Φωτὸς κακούργου σχήματ' ἐκμιμούμενον,
Σοὶ τήνδ' ἐς εὐνὴν, ὥσπερ ἄνθρωπον, μολεῖν.
31. -- -- εἰ δέ που τύχοι
Πέριξ ἑλίξας [ταῦρος,] εἷλχ' ὁμοῦ λαβὼν
Γυναῖκα, πέτραν, δροῦν, μεταλλάσσων ἀεί·
32. ----- ἔνδον δὲ θαλάμοις βουκόλον
Κομῶντα κισσῷ, στῦλον Εὐίου θεοῦ.
33. ----- ἀλλ' ἐμοὶ πιθοῦ·
Παῦσαι δ' ἀοιδῶν, πραγμάτων δ' εὐμουσίαν
Ἄσκει· τοιαῦτ' ἄειδε, καὶ δόξεις φρονεῖν,
Σκάπτων, ἀρῶν γῆν, ποιμνίων ἐπιστατῶν.
Ἄλλοις τὰ κομψὰ ταῦτ' ἀφεὶς σοφίσματα,
Ἐξ ὧν κενοῖσιν ἐγκατοικήσεις δόμοις.
34. ----- ἐν τούτῳ γέ τοι
Λαμπρός θ' ἕκαστος, κἀπὶ τοῦτ' ἐπείγεται,
Νέμων τὸ πλεῖστον ἡμέρας τούτῳ μέρος,
Ἵν' αὐτὸς αὑτοῦ τυγχάνῃ βέλτιστος ὤν.
35. ----- ᾧδε γενναίαν φύσιν
Γυναικομίμῳ διαπρέπεις μορφώματι.
36. Καὶ πῶς σοφὸν τοῦτ' ἐστιν, ἥτις εὐφυᾶ
Λαβοῦσα τέχνη φῶτ' ἔθηκε χείρονα;

37. Κύουσα τίκτουσ', ἠνίχ' ἡκόμην πάλιν.
38. Ὦ κρεῖττον ὄλβου κτῆμα.
39. Ὤικτειρ' ἀκούσας. οἰκτρὰ γὰρ τὰ
δυστυχῆ
Βροτοῖς ἅπασι, κἂν θυραῖος ὢν κυρῇ.
------Ἄνθρωπος ὤν
Οὐδεὶς ἄλυπος τὸν βίον διήγαγεν·
Οὐδεὶς δὲ μέχρι τέλους ἔμεινεν εὐτυχῶν.
40. Ἀμουσία τοι μηδ' ἐπ' οἰκτροῖσιν δάκρυ
Στάζειν· κακὸν δὲ χρημάτων ὄντων ἅλις,
Φειδοῖ πονηρᾷ μηδὲν' εὖ ποιεῖν βρότων.
41. Βροτοῖσιν εὔκρας οὐ γένοιτ' ἂν ἡδέως.
42. Οὔτ' ἐν δίκης βουλαῖσιν ὀρθὸν ἄν ποτε
Λόγον προθεῖ', ἢ πιθανόν· οὔτ' ἐν ἀσπίδος
Κύτει ὁμιλήσας ἂν ὀρθώσαις στρατόν·
Οὐ τεῖχος ἂν λάβοις δή, οὔτ' ἄλλων ὕπερ
Νεανικὸν βούλευμα βουλεύσαιό τι.

ARCHELAUS.

1. Αἴγυπτος, ὡς ὁ πλεῖστος ἔσπαρται λόγος,
Σὺν παισὶ πεντήκοντα ναυτίλῳ πλάτῃ
Ἄργος κατασχών.
2. Δαναὸς, ὁ πεντήκοντα θυγατέρων πα-
τὴρ,
Νείλου λιπὼν κάλλιστον ἐκ γαίας ὕδωρ·
Ὃς ἐκ μελαμβρότοιο πληροῦται ῥοὰς
Αἰθιοπίδος γῆς, ἡνίκ' ἂν τακῇ χιών,
Τεθρίππου ὄντος ἡλίου δι' αἰθέρα,
Ἐλθὼν ἐς Ἄργος ᾤκισ' Ἰνάχου πόλιν,
Πελασγιώτας δ' ὠνομασμένους τὸ πρὶν
Δαναοὺς καλεῖσθαι νόμον ἔθηκ' ἂν' Ἑλλά-
δα.
3. Ἐγὼ δὲ τὸ σὸν κρᾶτ' ἀναστέψαι θέλω.
4. Ἓν δέ σοι μόνον προφωνῶ, μὴ 'πὶ δου-
λείας ποτὲ
Ζῶν ἑκὼν ἔλθῃς, παρόν σοι κατθανεῖν
ἐλευθέρως.
5. Ὁ δ' ἡδὺς αἰὼν, ἡ κακή τ' ἀνανδρία
Οὔτ' οἶκον, οὔτε πόλιν ὀρθώσειεν ἄν.
6. Ὀργῇ γὰρ φαύλῃ πόλλ' ἔνεστ' ἀσχήμονα.
7. Νεανίαν γὰρ ἄνδρα χρὴ τολμᾶν ἀεί.
Οὐδεὶς γὰρ ὢν ῥάθυμος εὐκλεὴς ἀνήρ·
Ἀλλ' οἱ πόνοι τίκτουσι τὴν εὐδοξίαν.
8. Ἁπλοῦς ὁ μῦθος· μὴ λέγε· τὸ γὰρ λέ-
γειν
Εὖ, δεινόν ἐστιν, εἰ φέροι τινὰ βλάβην.
9. Τυραννὶς εἶναι θεῶν βίος νομίζεται.
Τὸ μὴ θανεῖν γὰρ οὐκ ἔχει, τὰ δ' ἄλλ' ἔχει.
10. --- --- ὀλίγον ἄλκιμον δόρυ,
Κρεῖσσον στρατηγοῦ μυρίου στρατεύματος.
11. Ἔχει δὲ καὶ τοῦτ' οὐχὶ μικρὸν, εὐγενὴς
Ἀνὴρ στρατηγῶν, εὐκλεᾶ τ' ἔχων φάτιν.
12. --- --- --- ἐμὲ δ' ἄρ' οὐ
Μοχθεῖν δίκαιον; τίς δ' ἀμόχθητος εὐ-
κλεής;
Τίς τῶν μεγίστων δειλὸς ὢν ὠρέξατο;
13. Ὀλίγοι γὰρ ἐσθλοὶ κρείσσονες πολ-
λῶν κακῶν.
14. Νεανίας τε καὶ πένης σοφός θ' ἅμα·
Ταῦτ' εἰς ἓν ἐλθόντ' ἄξι' ἐνθυμήσεως.
15. Κρείσσονα γὰρ οὔτε δοῦλον, οὔτ' ἐλεύ-
θερον,
Τρέφειν ἐν οἴκοις ἀσφαλὲς τοῖς σώφροσι.
16. Ἔσωσα δούλην οὖσαν· οἱ γὰρ ἥσσονες
Τοῖς κρείσσοσιν φιλοῦσι δουλεύειν βροτῶν.
17. Πατρὸς δ' ἀνάγκη παισὶ πείθεσθαι
λόγῳ.
18. Ἡμῶν τί δῆτα τυγχάνεις χρείαν
ἔχων;
Πατέρων γὰρ ἐσθλῶν ἐλπίδας δίδως γε-
γώς.
19. ——— πένης γὰρ οὐκ ἐκεῖν' ἀπώλεσεν,
Τὸ τοῦ πατρὸς γενναῖον.
20. Ἐν τοῖς τέκνοις γὰρ ἡ 'ρετὴ τῶν εὐγενῶν
Ἐνέλαμψε· κρείσσων τ' ἐστὶ πλουσίου γάμου.
21. Τί δ' οὐκ ἂν εἴη χρυσὸς ὄλβιος γεγώς;
22. Μὴ πλούσιον θῇς· ἐνδεέστερος γὰρ ὢν
Ταπεινὸς ἔσται· κεῖνο δ' ἰσχύει μέγα,
Πλοῦτος· λαβών τε τοῦτον εὐγενὴς ἀνήρ.
23. Πλουτεῖς; ὁ πλοῦτος δ' ἀμαθία, δει-
λόν θ' ἅμα.
24. Οὐ γὰρ ὑπερθεῖν κύματος ἄκραν
Δυνάμεσθ'· ἔτι γὰρ θάλλει πενία,
Κακὸν ἔχθιστον, φεύγει δ' ὄλβος.
25. Οὐκ ἔστι Πενίας ἱερὸν, αἰσχίστης θεοῦ·
Μισῶ γὰρ ὄντως, οἵτινες φρονοῦσι μὲν,
Φρονοῦσι δ' οὐδενὸς, ἢ τε χρημάτων ὕπερ.
26. Πάλαι σκοποῦμαι τὰς τύχας τῶν
βροτῶν,
Ὡς εὖ μεταλλάσσουσιν· ὃς γὰρ ἂν σφαλῇ,
Εἰς ὀρθὸν ἔστη· χ' ὁ πρὶν εὐτυχῶν, πιτνεῖ.
27. Ἔστι καὶ παρὰ δάκρυσι
Κείμενον ἡδὺ βροτοῖς,
Ὅταν ἄνδρα φίλον
Στενάχῃ τις ἐν οἴκτῳ.
28. Ἔπαυσ' ὀδυρμοὺς λυμεῶνας. ——— ———
29. Τὸ συνεχὲς ἔργου παντὸς εὑρίσκει
τέλος.
30. Οὐκ ἔστιν ὅστις ἡδέως ζητῶν βιοῦν,
Εὔκλειαν εἰσεκτήσατ', ἀλλὰ χρὴ πονεῖν.
31. Α. Πόλλ', ὦ τέκνον, σφάλλουσιν ἀν-
θρώπους θεοί.
Β. Τὸ ῥᾷστον εἶπας, αἰτιάσασθαι θεούς.
32. Τὰ γὰρ οὐκ ὀρθῶς πρασσόμεν' ὀρθῶς
Τοῖς πράσσουσιν κακὸν ἦλθε.

AUGE.

1. Τὸ γὰρ ἐπιεικὲς ὠφελεῖ τὰς συμφοράς.
2. Οὐ τῶν κακούργων οἶκτος, ἀλλὰ τῆς δίκης.
3. Ἔρωτα δ᾽ ὅστις μὴ θεὸν κρίνει μέγαν,
Καὶ τῶν ἁπάντων δαιμόνων ὑπέρτατον,
Ἢ σκαιός ἐστιν, ἢ καλῶν ἄπειρος ὢν
Οὐκ οἶδε τὸν μέγιστον ἀνθρώποις θεόν.
4. Γυναῖκές ἐσμεν· τὰ μὲν ὄκνῳ νικώμεθα,
Τὰ δ᾽ οὐκ ἂν ἡμῶν θράσος ὑπερβάλλοιτό τις.
5. Τίς δ᾽ οὐχὶ χαίρει νηπίοις ἀθύρμασιν;
6. Πᾶσιν γὰρ ἀνθρώποισιν, οὐχ ἡμῖν μόνον,
Ἢ ϗ παραυτίκ᾽, ἢ χρόνῳ δαίμων βίον
Ἔσφηλε, κ᾽ οὐδεὶς διὰ τέλους εὐδαιμονεῖ.
7. Κακῶς δ᾽ ὄλοιντο πάντες, οἳ τυραννίδι
Χαίρουσιν, ὀλίγῃ τ᾽ ἐν πόλει μοναρχίᾳ.
Τοὐλεύθερον γὰρ ὄνομα παντὸς ἄξιον,
Κἂν μίκρ᾽ ἔχῃ τις μεγάλ᾽ ἔχειν νομίζεται.
8. Νῦν δ᾽ οἶνος ἐξέστησέ μ᾽· ὁμολογῶ δέ σε
Ἀδικεῖν· τὸ δ᾽ ἀδίκημ᾽ ἐγένετ᾽ οὐκ ἑκούσιον.
9. --- --- --- σκῦλα μὲν βροτοφθόρα
Χαίρεις ὁρῶσα, ἀπὸ νεκρῶν ἐρείπια·
Κ᾽ οὐ μιαρά σοι ταῦτ᾽ ἐστιν, εἰ δ᾽ ἐγὼ ᾽τεκον,
Δεινὸν τόδ᾽ ἡγῇ.

AUTOLYCUS, Drama Satyricum.

1. τοὺς ὄνους
Τοὺς λαρκαγωγοὺς ἐξ ὄρους οἴσειν ξύλα.
2. Σχοινίνας ἵπποισι γὰρ φλοΐνας ἡνίας πλέκει.
3. Κακῶν γὰρ ὄντων μυρίων καθ᾽ Ἑλλάδα,
Οὐδὲν κάκιόν ἐστιν ἀθλητῶν γένους·
Οἳ πρῶτα μὲν ζῆν οὔτε μανθάνουσιν εὖ,
Οὔτ᾽ ἂν δύναιντο· πῶς γάρ, ὅστις ἔστ᾽ ἀνὴρ
Γνάθου τε δοῦλος, νηδύος θ᾽ ἡσσημένος,
Κτήσαιτ᾽ ἂν ὄλβον εἰς ὑπερβολὴν πατρός;
Οὐδ᾽ αὖ πένεσθαι κἀξυπηρετεῖν τύχαις
Οἷοί τ᾽. ἔθη γὰρ οὐκ ἐθισθέντες καλά,
Σκληρῶς μεταλλάσσουσιν εἰς τἀμήχανα.
Λαμπροὶ δ᾽ ἐν ἥβῃ ϗ πόλεως ἀγάλματα
Φοιτῶσ᾽· ὅταν δὲ προσπέσῃ γῆρας πικρόν,
Τρίβωνες ἐκλείποντες οἴχονται κρόκας.
Ἐμεμψάμην δὲ ϗ τὸν Ἑλλήνων νόμον,
Οἳ τῶνδ᾽ ἕκατι σύλλογον ποιούμενοι,
Τιμῶσ᾽ ἀχρείους ἡδονὰς δαιτὸς χάριν.
Τίς γὰρ παλαίσας εὖ, τίς ὠκύπους ἀνήρ,
Ἢ δίσκον ἄρας, ἢ γνάθον παίσας καλῶς,
Πόλει πατρῴᾳ στέφανον ἤρκεσεν λαβών;
Πότερα μαχοῦνται πολεμίοισιν ἐν χεροῖν
Δίσκους ἔχοντες, ἢ δι᾽ ἀσπίδων ποσὶ
Θείνοντες ἐκβαλοῦσι πολεμίους πάτρας;
Οὐδεὶς σιδήρου ταῦτα μωραίνει πέλας
Στάς· ἄνδρας οὖν ἐχρῆν σοφούς τε κἀγαθοὺς
Φύλλοις στέφεσθαι, χ᾽ ὅστις ἡγεῖται πόλει
Κάλλιστα, σώφρων ϗ δίκαιος ὢν ἀνήρ·
Ὅστις γε μύθοις ἔργ᾽ ἀπαλλάσσει κακά,
Μάχας τ᾽ ἀφαιρῶν, ϗ στάσεις· τοιαῦτα γὰρ
Πόλει τε πάσῃ, πᾶσί θ᾽ Ἕλλησιν καλά.

BELLEROPHONTES.

1. Πάρες, ὦ σκιερὰ φυλλάς, ὑπερβῶ
Κρηναῖα νάπη· τὸν ὑπὲρ κεφαλῆς
Αἰθέρ᾽ ἰδέσθαι
Σπεύδω, τίν᾽ ἔχει στάσιν εὐοδίας.
2. Κυλίνδετ᾽ ἔσω τόνδε τὸν δυσδαίμονα.
3. Ἄγ᾽, ὦ φίλον μοι Πηγάσου πτερὸν —
4. Ὑφ᾽ ἅρματ᾽ ἐλθὼν Ζηνὸς ἀστραπηφορεῖ.
5. Οἴμοι· τί δ᾽ οἴμοι; θνητά τοι πεπόνθαμεν.
6. Οὐδέ ποτ᾽ εὐτυχίαν
Κακοῦ ἀνδρὸς ὑπέρφρονά τ᾽ ὄλβον
Βέβαιον εἰκάσαι χρεών,
Οὐδ᾽ ἀδίκων γενεάν· ὁ γὰρ οὐδενὸς
Ἐκφὺς χρόνος δικαίους
Ἐπάγων κανόνας, δείκνυσιν
Ἀνθρώπων κακότητας.
7. Θάρσος δὲ πρὸς τὰς συμφορὰς μέγα σθένει.
8. Δόλοι δὲ ϗ σκοτεινὰ μηχανήματα
Χρείας ἀνάνδρου φάρμαχ᾽ εὕρηται βροτοῖς.
9. Ὡς ἔμφυτος μὲν πᾶσιν ἀνθρώποις κάκη·
Ὅστις δὲ πλεῖστον μισθὸν εἰς χεῖρας λαβὼν
Κακὸς γένηται, τῷδε συγγνώμη μὲν οὔ·
Πλείω δὲ μισθὸν μείζονος τόλμης ἔχων,
Τὸν τῶν λεγόντων ῥᾷον ἂν φέροι ψόγον.
10. Φθονοῦσιν, αὐτοὶ χείρονες πεφυκότες·
Εἰς τἀπίσημα δ᾽ ὁ φθόνος πηδᾷν φιλεῖ.
11. Ἀεὶ γὰρ ἄνδρα σκαιὸν ἰσχυρὸν φύσει
Ἧσσον δέδοικα τἀσθενοῦς τε ϗ σοφοῦ.
12. Νείκη γὰρ ἀνδρῶν φόνια ϗ μάχας χερῶν
Δόλοισι κλέπτει· τῆς δ᾽ ἀληθείας ὁδὸς
Φαύλη τίς ἐστι· ψεύδεσιν δ᾽ Ἄρης φίλος.
13. Ὦ παγκακίστη ϗ γυνή· τί γὰρ λέγων
Μεῖζόν σε τοῦδ᾽ ὄνειδος ἐξείποι τις ἄν;
14. Οὐκ ἂν γένοιτο τραῦμα, εἴ τις ἐγχέῃ
Θάμνοις ἐλείοις· οὐδ᾽ ἂν ἐκ μητρὸς κακῆς
Ἐσθλοὶ γένοιντο παῖδες εἰς ἀλκὴν δορός.
15. Ὦ χρυσέ, δεξίωμα κάλλιστον βροτοῖς,
Ὡς οὐδὲ μήτηρ ἡδονὰς τοιάσδ᾽ ἔχει,
Οὐ παῖδες ἀνθρώποισιν, οὐ φίλος πατήρ,

Οἷας σοῦ χ᾽ αἱ σαὶ δώμασιν κεκτημένοι.
Εἰ δ᾽ ἡ Κύπρις τοῦτον ὀφθαλμοῖς ὁρᾷ,
Οὐ θαῦμ᾽, ἔρωτας μυρίους αὐτὴν τρέφειν.
16. Ἐγὼ τὸ μὲν δὴ πανταχοῦ θρυλλούμενον
Κράτιστον εἶναί φημι, μὴ φῦναι βροτῷ·
Τρισσῶν δὲ βιότων ἐνὶ κρίνω νίκην μίαν.
Πλούτου τε, χὤτῳ σπέρμα γενναῖον προσῇ,
Πενίας τ᾽· ἀριθμὸν γὰρ τοσόνδε προὔθέμην.
Ὁ μὲν ζάπλουτος, εἰ γένος δ᾽ οὐκ εὐτυχής,
Ἀλγεῖ μέν, ἀλγεῖ, παγκάλως δ᾽ ἀλγύνεται,
Ὄλβου διοίγων θάλαμον ἥδιστον χερί.
Ἔξω δὲ βαίνων τοῦδε, τὸν πάρος χρόνον,
Πλουτῶν, ὑπ᾽ ἄτης Ζεύς τ᾽ ἀνασχάλλει
πεσών.
Ὅστις δὲ, γαῦρον σπέρμα γενναῖόν τ᾽ ἔχων,
Βίου σπανίζει, τῷ γένει μὲν εὐτυχεῖ,
Πενίᾳ δ᾽ ἐλάσσων ἐστὶν, ἐν δ᾽ ἀλγύνεται,
Φρονῶν δ᾽ ὑπ᾽ αἰδοῦς ἔργ᾽ ἀπωθεῖται χεροῖν.
Ὁ δ᾽ οὐδὲν οὐδεὶς, διὰ τέλους δὲ δυστυχῶν,
Τοσῷδε νικᾷ· τοῦ γὰρ εὖ τητώμενος
Οὐκ οἶδεν αἰεὶ δυστυχῶν, κακῶς τ᾽ ἔχων.
Οὕτως ἄμεινον μὴ πεπειρᾶσθαι καλῶν,
Ἐκεῖνο γὰρ μεμνήμεθ᾽· οἷος ἦν ποτὲ
Κἀγὼ μετ᾽ ἀνδρῶν οἷος εὐτύχουν ποτέ.
17. Ἐγὼ γὰρ, εἰ νῦν εἶχ᾽ ἔμ᾽ ὁ σπείρας
πατὴρ,
Ἠπιστάμην ἂν, μουσικὴν παρεὶς, ποιεῖν·
Ὡς εὐτυχήσων ϗ κακῶς πράξων ποτέ.
Πρῶτον μὲν, ἐξ ὧν πάντα γίγνεται βρο-
τοῖς,
Εὔογκος εἶναι γαστρὶ μὴ πληρουμένῃ.
Στέργειν θ᾽ ὑδρηροῖς, ὥστε θὴρ, ἀεὶ ποτοῖς,
Χειμῶνί τ᾽ ἀσκεῖν σῶμα, θερμά θ᾽ ἡλίου
Τοξεύματ᾽ αἰνεῖν μὴ σκιατραφούμενος.
Νῦν δ᾽ οὐκ ἐθισθεὶς ταῦτ᾽, ἐπίσταμαι μὲν οὔ,
Φέρειν δ᾽ ἀνάγκη· τὴν γὰρ Ὀρφέα λαβὼν
Ἅπαν τε μουσῶν ἐννεάφθογγον μέλος,
Οὐκ ἂν πίθοιμι γαστέρ᾽, ἀλλὰ δεῖ βίου.
18. Πρὸς τὴν νόσον τοι ϗ τὸν ἰατρὸν χρεὼν
Ἰδόντ᾽ ἀκεῖσθαι, μὴ ᾽πιτακτὰ φάρμακα
Διδόντ᾽, ἐὰν μὴ ταῦτα τῇ νόσῳ πρέπῃ.
19. Νόσοι δὲ θνητῶν αἱ μὲν εἰσ᾽ αὐθαίρετοι·
Αἱ δ᾽ ἐκ θεῶν πάρεισιν, ἀλλὰ τῷ νόμῳ
Ἰώμεθ᾽ αὐτάς· ἀλλά σοι λέξαι θέλω,
Εἰ θεοί τι δρῶσιν αἰσχρὸν, οὐκ εἰσὶν θεοί.
20. Ποῦ δὴ τὸ σαφὲς θνητοῖσι βροτοῖς;
Θοαῖσι μὲν ναυσὶ πόρον
Πνοαὶ κατὰ βένθος ἅλιον
Ἰθύνουσι· τύχας δὲ θνητῶν
Τὸ μὲν μέγ᾽ εἰς οὐδὲν
Ὁ πολὺς χρόνος μεθίστη-
σι· τὸ δὲ μεῖον αὔξει.
21. Ὁρᾷς δ᾽ ἀέλπτων μυρίων ἀναστροφάς.
Πολλοὶ μὲν οἶδμα διέφυγον θαλάσσιον.
Πολλοὶ δὲ λόγχαις πολεμίων ἀμείνονες,
Ἥσσους γεγῶτες κρείσσον᾽ ἦλθον εἰς τύχην.
22. Ὦ παῖ, νέων τοι δρᾶν μὲν εὔτονοι χέρες·
Γνῶμαι δὲ ἀμείνους εἰσὶ τῶν γεραιτέρων·
Ὁ γὰρ χρόνος δίδαγμα ποικιλώτατον.
23. Τιμή σ᾽ ἐπαίρει τῶν πέλας μᾶλλον
φρονεῖν.
Θνήσκοιμ᾽ ἄν· οὐ γὰρ ἄξιον λεύσσειν φάος,
Κακοὺς ὁρῶντας ἐκδίκως τιμωμένους.
24. Μισῶ δ᾽ ὅταν τις ϗ χθονὸς στρατηλάτης
Μὴ πᾶσι πάντα προσφέρῃ μειλίγματα.
Τοῖς πράγμασιν γὰρ οὐχὶ θυμοῦσθαι χρεών.
Μέλει γὰρ αὐτοῖς οὐδέν· ἀλλ᾽ οὑντυγχάνων,
Τὰ πράγματ᾽ ὀρθῶς ἢν τιθῇ, πράσσει καλῶς.
25. Φησίν τις, εἶναι δῆτ᾽ ἐν οὐρανῷ θεούς;
Οὐκ εἰσὶν, οὐκ εἴσ᾽. εἴ τις ἀνθρώπων λέγει,
Μὴ τῷ παλαιῷ μωρὸς ὢν χρήσθω λόγῳ.
Σκέψασθε δ᾽ αὐτὰ, μὴ ᾽πὶ τοῖς ἐμοῖς λόγοις,
Γνώμην ἔχοντες. φημ᾽ ἐγὼ, τυραννίδα
Κτείνειν τε πολλοὺς, κτημάτων τ᾽ ἀποστερεῖν,
Ὅρκους τε παραβαίνοντας ἐκπορθεῖν πόλεις.
Καὶ ταῦτα δρῶντες μᾶλλον εἴσ᾽ εὐδαί-
μονες
Τῶν εὐσεβούντων ἡσυχῇ καθ᾽ ἡμέραν.
Πόλεις τε μικρὰς οἶδα τιμώσας θεοὺς,
Αἳ μειζόνων κλύουσι δυσσεβεστέρων,
Λόγχης ἀριθμῷ πλείονος κρατούμεναι.
Οἶμαι δ᾽ ἂν ὑμᾶς, εἴ τις ἀργὸς ὢν θεοῖς
Εὔχοιτο, ϗ μὴ χειρὶ συλλέγοι βίον,
* * * *
Τὰ θεῖα πυργοῦσ᾽· αἱ κακαί τε συμφοραί.
26. Ἔπτησσ᾽ ὑπείκων μᾶλλον, ἢ θέλοι.
27. Καὶ ξεστὸν ὄχθον Δαναΐδων ἑδρασμά-
των.
28. Ἦσθ᾽ εἰς θεοὺς μὲν εὐσεβὴς, ὅτ᾽ ἦσθ᾽,
ἀεὶ,
Ξένοις τ᾽ ἐπήρκεις, οὐδ᾽ ἔκαμνες εἰς φίλους.
29. Ἤδη γὰρ εἶδον ϗ δίκης παραστάτας
Ἐσθλοὺς πονηρῷ τῷ φθόνῳ νικωμένους.

BUSIRIS.

I. Δούλῳ γὰρ οὐχ᾽ οἷόν τε τἀληθῆ λέγειν,
Εἰ δεσπόταισι μὴ πρέποντα τυγχάνοι.

CADMUS.

I Οὐρανὸς ὑπὲρ ἡμᾶς καινῶς φοιτοῦν ἕ-
δος δαιμόνιον, τόδ᾽ ἐν μέσῳ
Τοῦ οὐρανοῦ τε ϗ χθονὸς οἱ μὲν ὀνομάζουσι
Χάος.

CHRYSIPPUS.

1. Λέληθέν οὐδὲν τῶνδέ μ᾽, ὧν σὺ νουθετεῖς.
Γνώμην δ᾽ ἔχοντά μ᾽ ἡ φύσις βιάζεται.
2. Αἴ, αἴ, τόδ᾽ ἤδη θεῖον ἀνθρώποις κακὸν,
Ὅταν τις εἴδῃ τἀγαθὸν, χρῆται δὲ μή.
3. Γνώμη σοφὸς μοι ϗ χέρ᾽ ἀνδρείαν ἔχοι·
Δύσμορφος εἴην μᾶλλον, ἢ καλὸς κακός.
4. Ὦ δέσποτ᾽, οὐδεὶς οἶδεν, ἄνθρωπος ϛεϐὼς,
Οὔτ᾽ εὐτυχοῦς ἀριθμὸν, οὔτε δυστυχοῦς.
5. Εἰάζων.
6. . . . λήθη λόγων,
Λήθη δὲ πάτρας . . .
7. Γαῖα μεγίϛη ϗ Διὸς αἰθήρ·
Ὁ μὲν ἀνθρώπων ϗ θεῶν γενέτωρ,
Ἡ δ᾽ ὑγροϐόλους ϛαγόνας νοτίους
Παραδεξαμένη, τίκτει θνατοὺς
Τίκτει δὲ βορὰν φῦλά τε θηρῶν·
Ὅθεν οὐκ ἀδίκως
Μήτηρ πάντων νενόμιϛαι.
Χωρεῖ δ᾽ ὀπίσω τὰ μὲν ἐκ γαίας
Φῦντ᾽ εἰς γαῖαν· τὰ δ᾽ ἀπ᾽ αἰθερίου
Βλαϛόντα γονῆς, εἰς οὐράνιον
Πόλον ἦλθε πάλιν· θνήσκει δ᾽ οὐδὲν
Τῶν γενομένων· διακρινόμενον
Δ᾽ ἄλλο πρὸς ἄλλο
Μορφὴν ἰδίαν ἀπέδειξε.

CRESPHONTES.

1. Ἔδει γὰρ ὑμᾶς σύλλογον ποιουμένους
Τὸν φύντα θρηνεῖν, εἰς ὅσ᾽ ἔρχεται κακά·
Τὸν δ᾽ αὖ θανόντα ϗ πόνων πεπαυμένον,
Χαίροντας εὐφημοῦντας ἐκπέμπειν δόμων.
2. —— ϗ δίς ἑπτ᾽ αὐτῆς τέκνα
Νιόϐης θανόντα Λοξίου τοξεύμασιν.
3. Αἰδὼς ἐν ὀφθαλμοῖσι γίγνεται, τέκνον.
4. Εἰρήνη βαθύπλουτε καὶ
Καλλίϛα μακάρων θεῶν,
Ζῆλός μοι σέθεν, ὡς χρονίζεις.
Δέδοικα δὲ, μὴ πρὶν πόνοις
Ὑπερϐάλῃ με γῆρας,
Πρὶν σὰν χαρίεσσαν προϊδεῖν ὥραν,
Καὶ καλλιχόρους ἀοιδὰς,
Φιλοϛεφάνους τε κώμους.
Ἴθι μοι, πότνια, πόλιν·
Τὰνδε ἐχθρὰν ϛάσιν εἶργ᾽ ἀπ᾽ οἴκων,
Τὰν μαινομέναν τ᾽ ἔριν,
Θηκτῷ τερπομέναν σιδήρῳ.
5. Κέρδη τοιαῦτα χρή τινα κτᾶσθαι βροτῶν,
Ἐφ᾽ οἷσι μέλλει μή ποθ᾽ ὕϛερον ϛένειν.

6. Ἐκεῖνο δὴ σίκόνδ᾽, ὅπερ ἅπαντες βροτοί·
Φιλῶν μάλιϛ᾽ ἐμαυτὸν οὐκ αἰσχύνομαι.
7. Τεθνᾶσι παῖδες οὐκ ἐμοὶ μόνῃ βροτῶν,
Οὐδ᾽ ἀνδρὸς ἐϛερήμεθ᾽· ἀλλὰ μυρίαι
Τὸν αὐτὸν ἐξήντλησαν, ὡς ἐγὼ, βίον.
8. Εἰ γάρ σ᾽ ἔμελλεν, ὡς σὺ φῂς, κτανεῖν πόσις,
Χρῆν ϗ σὲ μέλλειν, ὡς χρόνος δῆθεν παρῆν.
9. Εἰ μὲν γὰρ οἰκεῖ νερτέρας ὑπὸ χθονὸς
Ἐν τοῖσιν οὐκέτ᾽ οὖσιν, οὐδὲν ἂν σθένοι.
10. ——— αἱ τύχαι δέ με
Μισθὸν λαϐοῦσαι τῶν ἐμῶν τὰ φίλτατα
Σοφὴν ἔθηκαν. ——
11. Ὁσιωτέραν δὴ τήνδ᾽ ἐγὼ δίδωμί σοι
Πληγήν. ——
12. Πολλὴν μὲν ἄροτον, ἐκπονεῖν δ᾽ οὐ ῥᾴδιον·
Κοίλη γὰρ, ὄρεσι περίδρομος, τραχεῖά τε
Δυσείσϐολός τε πολεμίοις.
13. . . καλλίκαρπον . . .
Καταῤῥυτόν τε μυρίοισι νάμασι,
Καὶ βουσὶ ϗ ποίμναισιν εὐϐοτωτάτην,
Οὔτ᾽ ἐν πνοαῖσι χείματος δυσχείμερον,
Οὔτ᾽ αὖ τεθρίπποις ἡλίου θερμὴν ἄγαν.
14. Γαίης Λακαίνης κύριον, φαύλου χθονός.
15. Ἀρετὴν ἐχούσης μείζον᾽, ἢ λόγῳ φράσαι.
16. Παμισὸν εἰς θάλασσαν ἐξορμώμενον.
17. Πρόσω ναυτίλοισιν.
18. Πρόσω δὲ βάντι ποταμὸν, Ἦλις, ὁ Διὸς
Γείτων κάθηται.

CRESSAE.

1. Ἅιδης διακρινεῖ πρότερον ἢ τῷ πείσομαι.
2. —— πρὶν ἂν ἐκφλῆναί με ϗ μαθεῖν λόγον.
3. Οὐκ ἂν δύναιο μὴ καμὼν εὐδαιμονεῖν·
Αἰσχρόν τε μοχθεῖν μὴ θέλειν νεανίαν.
4. Γαμεῖτε νῦν, γαμεῖτε, κᾆτα θνήσκετε
Ἢ φαρμάκοισιν ἐκ γυναικὸς, ἢ δόλοις.
Ὅϛις δὲ πλοῦτον, ἢ ὑγίειαν εἰσιδὼν
Γαμεῖ πονηρὰν, μωρός ἐϛι· μικρὰ γὰρ
Μεγάλων ἀμείνω σώφρον᾽ ἐν δόμοις ἔχειν.
5. Ἐπίϛαμαι δὲ ϗ πεπείραμαι λίαν,
Ὡς τῶν ἐχόντων πάντες ἄνθρωποι φίλοι.
6. Λύπη μὲν ἄτη περιπεσεῖν αἰσχρᾷ τινι·
Εἰ δ᾽ οὖν γένοιτο, χρὴ περιϛεῖλαι καλῶς
Κρύπτοντα, ϗ μὴ πᾶσι κηρύσσειν τάδε.
Γέλως γὰρ ἐχθροῖς γίνεται τὰ τοιάδε.
7. —— νόσος δὲ λείψαν᾽ ἐκϐάλλει κυσίν.
8. Τὰ δ᾽ ἄλλα χαῖρε, κύλικος ἐρπούσης κύκλῳ.

9. Αἱ δεύτεραί πως φροντίδες σοφώτεραι.
Τί γὰρ ποθεῖ τράπεζα; τῷ δ' οὐ βρίθεται;
Πλήρης μὲν ὄψων ποντίων· πάρεισι δὲ
Μόσχων τέρειναι σάρκες, χηνεία τε δαὶς,
Καὶ πεπτὰ, ϗ κροτητὰ· τῆς ξουθοπτέρου
Πελάνῳ μελίσσης ἀφθόνως δεδευμένα.
10. Δεξίας γὰρ ἄστρων τὴν ἐναντίαν ὁδὸν
Δήμους τ' ἔσωσα, ϗ τύραννος ἱζόμην.
11. Οὐ γάρ ποτ' ἄνδρα τὸν σοφὸν γυναικὶ χρὴ
Δοῦναι χαλινοὺς, οὐδ' ἀφέντ' ἐᾶν κρατεῖν.
Πιστὸν γὰρ οὐδέν ἐστιν· εἰ δέ τις κυρεῖ
Γυναικὸς ἐσθλῆς, εὐτυχεῖ, κακὸν λαβών·

CRETENSES.

1. Ἀλλ', ὦ Κρῆτες, Ἴδης τέκνα,
Τὰ τόξα λαβόντες ἐπαμύνετε.
2. Χ. Φοινικογενοῦς παῖ τῆς Τυρίας
Τέκνον Εὐρώπας ϗ τοῦ μεγάλου
Ζανὸς, ἀνάσσων
Κρήτης ἑκατομπτολιέθρου,
Ἥκω ζαθέους ναοὺς προλιπὼν,
Οἷς αὐθιγενὴς τμηθεῖσα δοκοὺς
Στεγανὰς παρέχει Χαλύβων πελέκει,
Καὶ ταυρόδετός γ'
Ἀτρεκεῖς ἁρμοὺς κυπάρισσος.
Ἁγνὸν δὲ βίον τείνομεν, ἐξ οὗ
Διὸς Ἰδαίου μύστης γενόμαν,
Καὶ νυκτιπόλου Ζαγρέως βιοτὰς
Τάς τ' ὠμοφάγους δαῖτας τελέσας,
Μητρί τ' ὀρείᾳ δᾷδας ἀνασχὼν,
Καὶ Κουρήταν
Βάκχος ἐκλήθην, ὁσιωθείς.
Πάλλευκα δ' ἔχων εἵματα, φεύγω
Γένεσίν τε βροτῶν, ϗ νεκροθήκης
Οὐ χριμπτόμενος· τήν τ' ἐμψύχων
Βρῶσιν ἐδεστῶν πεφύλαγμαι.

DANAE.

1. Ἐς ταυτὸν ἥκειν φημὶ τὰς βροτῶν τύχας
Τόν δ' ὃν καλοῦσιν αἰθέρ', ᾧ τάδ' ἐστὶ δή.
Οὗτος θέρους τε λαμπρὸν ἐκλάμπει σέλας,
Χειμῶνά τ' αὔξει, συντιθεὶς πυκνὸν νέφος,
Θάλλειν τε, ϗ μὴ, ζῆν τε, ϗ φθίνειν ποιεῖ.
Οὕτω δὲ θνητῶν σπέρμα τῶν μὲν εὐτυχεῖ
Λαμπρᾷ γαλήνῃ· τῶν δὲ συννέφει πάλιν.
Ζῶσίν τε σὺν κακοῖσιν, οἱ δ' ὄλβου μέτα
Φθίνουσ' αὐτίοις προσφόροις μεταλλαγεῖς.
2. Φεῦ τοῖσι γενναίοισιν ὡς ἁπανταχοῦ
Πρέπει χαρακτὴρ χρηστὸς εἰς εὐψυχίαν.
3. Κρείσσων γὰρ οὔτις χρημάτων πέφυκ' ἀνήρ·
Πλὴν εἴ τις, ὅστις δ' οὗτός ἐστιν, οὐχ ὁρῶ.
4. Ὅστις δόμοις μὲν ἥδεται πληρουμένοις,
Γαστρὸς δ' ἀφαιρῶν σῶμα δύστηνος κακοῖ,
Τοῦτον νομίζω, ϗ θεῶν συλᾶν βρέτη,
Τοῖς φιλτάτοις τε πολέμιον πεφυκέναι.
5. Ἔρως γὰρ ἀργὸν κἀπὶ τοῖς ἀργοῖς ἔφυ·
Φιλεῖ κάτοπτρα ϗ κόμης ξανθίσματα,
Φεύγει δὲ μόχθους· ἓν δέ μοι τεκμήριον·
Οὐδεὶς προσαιτῶν βίοτον ἠράσθη βροτῶν,
Ἐν τοῖς δ' ἔχουσιν ἡβητὴς πέφυκ' ὅδε.
6. Καὶ νῦν παραινῶ πᾶσι τοῖς νεωτέροις,
Μὴ πρὸς τὸ γῆρας τοὺς γάμους ποιουμένους
Σχολῇ τεκνοῦσθαι παῖδας· οὐ γὰρ ἡδονὴ,
Γυναικί τ' ἐχθρὸν χρῆμα πρεσβύτης ἀνὴρ,
Ἀλλ' ὡς τάχιστα· ϗ γὰρ ἐκτροφαὶ καλαὶ,
Καὶ συννεάζων ἡδὺ παῖς νέῳ πατρί.
7. Γυνὴ γὰρ ἐξελθοῦσα πατρῴων δόμων
Οὐ τῶν τεκόντων ἐστὶν, ἀλλὰ τοῦ λέχους.
Τὸ δ' ἄρσεν ἕστηκ' ἐν δόμοις ἀεὶ γένος
Θεῶν πατρῴων ϗ τάφων τιμάορον.
8. Ἦν γάρ τις αἶνος, ὡς γυναιξὶ μὲν τέχναι
Μέλουσι, λόγχῃ δ' ἄνδρες εὐστοχώτεροι·
Εἰ γὰρ δόλοισιν ἦν τὸ νικητήριον,
Ἡμεῖς ἂν ἀνδρῶν εἴχομεν τυραννίδα·
9. Συμμαρτυρῶ σοι πανταχοῦ λελείμμεθα
Πᾶσαι γυναῖκες ἀρσένων ἀεὶ δίχα.
10. Γύναι, φίλον μὲν φέγγος ἡλίου τόδε,
Καλὸν δὲ πόντου χεῦμ' ἰδεῖν εὐήνεμον,
Γῆ τ' ἠρινὸν θάλλουσα, πλούσιόν θ' ὕδωρ,
Πολλῶν τ' ἔπαινον ἐστί μοι λέξαι καλῶν.
Ἀλλ' οὐδὲν οὕτω λαμπρὸν, οὐδ' ἰδεῖν καλὸν,
Ὡς τοῖς ἄπαισι ϗ πόθῳ δεδηγμένοις
Παίδων νεογνῶν ἐν δόμοις ἰδεῖν φάος.
11. Τάχ' ἂν πρὸς ἀγκάλαισι ϗ στέρνοις ἐμοῖς
Πηδῶν ἀθύροι, ϗ φιλημάτων ὄχλῳ
Ψυχὴν ἐμὴν κτήσαιτο· ταῦτα γὰρ βροτοῖς
Φίλτρον μέγιστον, αἱ ξυνουσίαι, πάτερ.
12. Φιλοῦσι γάρ τοι τῶν μὲν ὀλβίων βροτοὶ
Σοφοὺς τίθεσθαι τοὺς λόγους· ὅταν δέ τις
Λεπτῶν ἀπ' οἴκων εὖ λέγῃ πένης ἀνὴρ,
Γελᾶν· ἐγὼ δὲ πολλάκις σοφωτέρους
Πένητας ἄνδρας εἰσορῶ τῶν πλουσίων.
Καὶ θεοῖσι μικρὰ χειρὶ θύοντας τέλη
Τῶν βουθυτούντων ὄντας εὐσεβεστέρους.
13. Οὐκ ἔστιν οὔτε τεῖχος, οὔτε χρήματα,
Οὔτ' ἄλλο δυσφύλακτον οὐδὲν, ὡς γυνή.

DIDYMI.

Τὸ τῆς ἀνάγκης οὐ λέγειν ὅσον ζυγόν.

DICTYS.

1. Φίλος γὰρ ἦν μοι, καὶ μ' ἔρως ἕλοι ποτὲ
Οὐκ εἰς τὸ μωρὸν, οὐδέ μ' εἰς Κύπριν τρέπων.
Ἀλλ' ἔστι δή τις ἄλλος ἐν βροτοῖς ἔρως
Ψυχῆς δικαίας σώφρονός τε κἀγαθῆς.
Καὶ χρῆν δὲ τοῖς βροτοῖσι τόνδ' εἶναι νόμον,
Τῶν εὐσεβούντων οἵτινές γε σώφρονες
Ἐρᾷν· Κύπριν δὲ τὴν Διὸς χαίρειν ἐᾷν.
2 Θάρσει· τὸ τοι δίκαιον ἰσχύει μέγα.
3. Τυραννικόν τι πόλλ' ἐφίεσθαι λέγων.
4. Εἰ δ' ἦσθα μὴ κάκιστος, οὔποτ' ἂν πόλιν
Τὴν σὴν ἀτίζων, τήνδ' ἂν εὐλόγεις πάτραν·
Ὡς ἔν γέ μοι κρίνοιτ' ἂν οὐ καλῶς φρονεῖν,
Ὅστις πατρώας γῆς ἀτιμάζων ὅρους
Ἄλλην ἐπαινεῖ καὶ τρόποισιν ἥδεται.
5. Μὴ νεῖκος, ὦ γεραιὲ, κοιράνοις τίθου·
Σέβειν δὲ τοὺς κρατοῦντας ἀρχαῖος νόμος.
6. Κύπρις γὰρ οὐδὲ νουθετουμένη χαλᾷ·
Ἄν τ' αὖ βιάζῃ, μᾶλλον ἐντείνειν φιλεῖ.
Κἄπειτα τίκτει πόλεμον· εἰς δ' ἀνάστασιν
Δόμων περαίνει πολλάκις τὰ τοιάδε.
7. Πατέρα τε παισὶν ἡδέως συνεκφέρειν
Φίλους ἔρωτας ἐκβαλόντ' αὐθαδίαν,
Παῖδάς τε πατρὶ· καὶ γὰρ οὐκ αὐθαίρετοι
Βροτοῖς ἔρωτες, οὐδ' ἑκουσία νόσος.
Σκαιόν τι δὴ τὸ χρῆμα γίγνεσθαι φιλεῖ,
Θεῶν ἀνάγκας ὅστις ἰᾶσθαι θέλει.
8. Εἷς γάρ τις ἐστὶ κοινὸς ἀνθρώποις νόμος,
Καὶ θεοῖσι τοῦτο δόξαν, ὡς σαφῶς λέγω,
Θηρσίν τε πᾶσι, τέκνα τίκτουσιν φιλεῖν.
Τὰ δ' ἄλλα χωρὶς χρώμεθ' ἀλλήλων νόμοις.
9. Ὄντων δὲ παίδων καὶ πεφυκότος γένους,
Καινοὺς φυτεῦσαι παῖδας ἐν δόμοις θέλεις,
Ἔχθραν μεγίστην σοῖσι συμβάλλων τέκνοις.
10. Εἰς δ' εὐγένειαν ὀλίγ' ἔχω φράσαι καλά·
Ὁ μὲν γὰρ ἐσθλὸς εὐγενὴς ἔμοιγ' ἀνήρ.
Ὁ δ' οὐ δίκαιος, κἂν ἀμείνονος πατρὸς
Ζηνὸς πεφύκῃ, δυσγενὴς εἶναι δοκεῖ.
11. Φεῦ, φεῦ, παλαιὸς αἶνος ὡς καλῶς ἔχει.
Οὐκ ἂν γένοιτο χρηστὸς ἐκ κακοῦ πατρός.
12. Μή μοι ποτ' εἴη χρημάτων νενωμένῳ
Κακῷ γενέσθαι, μηδ' ὁμιλοίην κακοῖς.
13. Πολλοῖς παρέστην κἀφθόνησα δὴ βροτῶν,
Ὅστις κακοῖσιν ἐσθλὸς ὢν, ὅμοιος ᾖ,
Λόγων ματαίων εἰς ἅμιλλαν ἐξιών.
Τὸ δ' ἦν ἄρ' οὐκ ἀκουστὸν, οὐδ' ἀνασχετὸν,
Σιγᾷν κλύοντα δεινὰ πρὸς κακιόνων.
14. Δοκεῖς τὸν ᾅδην σῶν τι φροντίζειν γόων,
Καὶ παῖδ' ἀνήσειν τὸν σὸν, εἰ θέλεις στένειν;
Παῦσαι· βλέπουσα δ' εἰς τὰ τῶν πέλας κακὰ
Ῥᾴων γένοι' ἂν, εἰ λογίζεσθαι θέλοις,
Ὅσοι τε δεσμοῖς ἐκμεμόχθηνται βροτῶν,
Ὅσοι τε γηράσκουσιν ὀρφανοὶ τέκνων,
Τούς τ' ἐκ μεγίστης ὀλβίας τυραννίδος
Τὸ μηδὲν ὄντας· ταῦτά σε σκοπεῖν χρεών.
15. --- ---τί μ' ἄρτι πημάτων λελησμένον
Ὀρθοῖς;
16. Νέος, πόνοισι δ' οὐκ ἀγύμναστος φρένας.
17. Ἀνὴρ γὰρ, ὅστις ἥδεται λέγων ἀεὶ,
Λέληθεν αὐτὸν τοῖς ξυνοῦσιν ὢν βαρύς.

ERECHTHEUS.

1. Τὰς χάριτας, ὅστις εὐγενῶς χαρίζεται
Ἥδιον ἐν βροτοῖσιν· οἳ δὲ δρῶσι μὲν,
Χρόνῳ δὲ δρῶσι, πολλῷ δυσγενέστεροι·
Ἐγὼ δὲ δώσω τὴν ἐμὴν παῖδα κτανεῖν·
Λογίζομαι δὲ πολλά· πρῶτα μὲν πόλιν
Οὐκ ἄν τιν' ἄλλην τῆσδε βελτίω λαβεῖν.
Ἧι πρῶτα μὲν λεὼς οὐκ ἐπακτὸς ἄλλοθεν,
Αὐτόχθονες δ' ἔφυμεν· αἱ δ' ἄλλαι πόλεις,
Πεσσῶν ὁμοίως διαφοραῖς ἐκτισμέναι,
Ἄλλαι παρ' ἄλλων εἰσὶν εἰσαγώγιμοι.
Ὅστις δ' ἀπ' ἄλλης πόλεος οἰκίζῃ πόλιν,
Ἁρμὸς πονηρὸς ὥσπερ ἐν ξύλῳ παγεὶς,
Λόγῳ πολίτης ἐστὶ, τοῖς δ' ἔργοισιν οὔ.
Εἰ δὲ πάρεργον χρή τι κομπάσαι, γυναῖκες,
Οὐρανὸν ὑπὲρ γῆς ἔχομεν εὖ συγκεκραμένον,
Ἵν' οὔτ' ἄγαν πῦρ, οὔτε χεῖμα συμπιτνεῖ.
Ἃ δ' Ἑλλὰς Ἀσία τε τρέφει κάλλιστα
Τῆς γε δέλεαρ ἔχοντες συνθηρεύομεν.
Ἔπειτα τέκνα τοῦδ' ἕκατι τίκτομεν,
Ὡς θεῶν τε βωμοὺς πατρίδα τε ῥυώμεθα·
Πόλεως δ' ἁπάσης τοὔνομ' ἓν, πολλοῖς δέ μιν
Νόμοισι, τούτους πῶς διαφθεῖραί με δεῖ,
Ἐξὸν προπάντων μίαν ὑπερδοῦναι θανεῖν;
Εἴπερ γὰρ ἀριθμὸν οἶδα, καὶ τοὐλάσσονος
Τὸ μεῖζον, ἑνὸς μὲν οἶκος οὐ πλεῖον σθένει,
Πταίσας, ἁπάσης πόλεος, οὐδ' ἴσον φέρει.
Εἰ δ' ἦν ἐν οἴκοις ἀντὶ θήλεως στάχυς
Ἄρσην, πόλιν δὲ πολεμία κατεῖχε φλόξ,

Οὐκ ἂν μιν ἐξέπεμπον εἰς μάχην δορὸς
Θάνατον προταρβοῦσ'. ἀλλ' ἐμοί γ' εἴη τέκνα,
Ἃ καὶ μάχοιτο καὶ μετ' ἀνδράσιν πρέποι.
Μὴ σχήματα δ', ἄλλως ἐν πόλει πεφυκότα.
Τὰ μητέρων δὲ δάκρυ' ὅταν πέμπῃ τέκνα,
Πολλοὺς ἐθήλυν' εἰς μάχην ὁρμωμένους.
Μισῶ γυναῖκας, αἵτινες πρὸ τοῦ καλοῦ
Ζῆν παῖδας εἵλοντο, καὶ παρῄνεσαν κακά.
Καὶ μὴν θανόντες γ' ἐν μάχῃ πολλῶν μέτα
Τύμβον τε κοινὸν ἔλαχον, εὔκλειάν τ' ἴσην.
Τῇ 'μῇ δὲ παιδὶ στέφανος, ἣ μία μόνη
Πόλεως θανοῦσα τῆσδ' ὑπερδοθήσεται
Καὶ τὴν τεκοῦσαν καὶ σὲ, δύ' ὁμοσπόρους,
Σώσει· τί τούτων οὐχὶ δέξασθαι καλόν;
Τὴν οὐκ ἐμήν γε, πλὴν φύσει, δώσω κόρην
Θῦσαι πρὸ γαίας· εἰ γὰρ αἱρεθήσεται
Πόλις, τί παίδων τῶν ἐμῶν μέτεστί μοι;
Οὔκουν ἅπαντα τοὐν' ἐμοὶ σωθήσεται,
Ἄρξουσί τ' ἄλλοι· τήνδ' ἐγὼ σώσω πόλιν.
Ἐκεῖνο δ', οὗ τὸ πλεῖστον ἐν κοινῷ μέρος,
Οὐκ ἔσθ', ἑκούσης τῆς ἐμῆς ψυχῆς ἄτερ,
Προγόνων παλαιὰ θέσμια τις ἐκβαλεῖ.
Οὐδ' ἂν τελείας χρυσέας τε Γοργόνος
Τρίαιναν, ὀρθὴν στᾶσαν ἐν πόλεως βάθροις,
Εὔμολπος, οὐδὲ Θρᾷξ ἀναστρέψει λεώς,
Στεφάνοισιν οὐδαμοῦ τιμήσεται.
Χρῆσθ', ὦ πολῖται, τοῖς ἐμοῖς λοχεύμασι,
Σώζεσθε, νικᾶτ'· ἀντὶ γὰρ ψυχῆς μιᾶς
Οὐκ ἔσθ' ὅπως οὐ τήνδ' ἐγὼ σώσω πόλιν.
Ὦ πατρὶς, εἴθε πάντες οἳ ναίουσί σε
Οὕτω φιλοῖεν, ὡς ἔγωγε· ῥᾳδίως
Οἰκοῖμεν ἄν σε, κοὐδὲν ἂν πάσχοις κακόν.
2. Ὀρθῶς μ' ἐπήρου, βούλομαι δέ σοι, τέκνον,
(Φρονεῖς γὰρ ἤδη κἀποσώσαις ἂν πατρὸς
Γνώμας φράσαντος, ἂν θάνω) παραινέσαι
Κειμήλι' ἐσθλὰ, καὶ νέοισι χρήσιμα.
Βραχεῖ δὲ μύθῳ πολλὰ συλλαβὼν ἐρῶ·
Πρῶτον φρένας μὲν ἠπίους ἔχειν χρεὼν
Τῷ πλουσίῳ δὲ, τῷ τε μὴ, διδοὺς μέρος,
Ἴσον σεαυτὸν εὐσεβεῖν πᾶσι δίδου.
Δυοῖν παρόντοιν πραγμάτοιν πρὸς θάτερον
Γνώμην προσάπτων τὴν ἐναντίαν μισεῖν.
Ἀδίκως δὲ μὴ κτῶ κτήματ', ἢν βούλῃ πολὺν
Οἴκως ἐσελθόντ' οὐκ ἔχει σωτηρίαν,
Ἔχειν δὲ πειρῶ· τοῦτο γὰρ τό τ' εὐγενὲς
Καὶ τοὺς γάμους δίδωσι τοὺς πρώτους ἔχειν.
Ἐν τῷ πένεσθαι δ' ἐστὶν ἥ τ' ἀδοξία,
Κἂν ᾖ σοφός τις, ἥ τ' ἀτιμία βίου.
Φίλους δὲ τοὺς μὲν μὴ χαλῶντας ἐν λόγοις
Κέκτησο, τοὺς δὲ πρὸς χάριν σὺν ἡδονῇ
Τῇ σῇ πονηροὺς, κλεῖθρον εἰργέτω στέγης.
Ὁμιλίας τε τὰς γεραιτέρας φίλει,
Ἀκόλαστα δ' ἤθη, λαμπρὰ συγγελᾶν μόνον,
Μίσει· βραχεῖα τέρψις ἡδονῆς κακῆς.
Ἐξουσίᾳ δὲ μήποτ' ἐντυχὼν, τέκνον,
Αἰσχροὺς ἔρωτας δημοτῶν διωκάθειν,
Ὁ καὶ σίδηρον ἀγχόνας τ' ἐφέλκεται,
Χρηστῶν πενήτων ἤν τις αἰσχύνῃ τέκνα.
Καὶ τοὺς πονηροὺς μήποτ' αὔξειν ἐν πόλει.
Κακοὶ γὰρ ἐμπλησθέντες ἢ νομίσματος,
Ἢ πόλεος ἐμπεσόντες εἰς ἀρχήν τινα,
Σκιρτῶσιν, ἀδόκητ' εὐτυχησάντων δόμων.
Ἀλλ', ὦ τέκνον, μοι δὸς χέρ', ὡς θίγῃ πατὴρ,
Καὶ χαῖρ', ὑπ' αἰδοῦς δ' οὐ λίαν ἀσπάζομαι.
Γυναικόφρων γὰρ θυμὸς ἀνδρὸς οὐ σοφοῦ.
3. Ὀλίγους ἐπαινῶ μᾶλλον, ἢ πολλοὺς κακούς
4. Οὐδεὶς, στρατεύσας ἄδικα, σῶς ἦλθεν πάλιν.
5. Ὡς σὺν θεοῖσι τοὺς σοφοὺς κινεῖν δόρυ
Στρατηλάτας χρὴ, τῶν θεῶν δὲ μὴ βίᾳ.
6. Κείσθω δόρυ μοι μίτον ἀμφιπλέκειν
Ἀράχναις, μετὰ δ' ἡσυχίας πολιῷ γήραϊ συνοικοίην, ἀείδοιμι δὲ στεφάνοις κάρα πολιὸν στεφανώσας, Θρῄκιον πέλταν πρὸς Ἀθηνᾶς περικίοσιν ἀγκρεμάσας θαλάμοις,
Δέλτων τ' ἀναπτύσσοιμι γῆρυν
Ἂν σοφοὶ κλέωνται.
7. Θετῶν δὲ παίδων ποῦ κράτος; τὰ φύντα γὰρ
Κρεῖσσον νομίζειν τῶν δοκημάτων χρεών
8. Οὐκ ἔστιν οὐδὲν μητρὸς ἥδιον τέκνοις.
Ἐρᾶτε μητρὸς, παῖδες· ὡς οὐκ ἔστ' ἔρως.
Τοιοῦτος ἄλλος, οἷος ἡδίων ἐρᾶν.
9. Τὰς οὐσίας γὰρ μᾶλλον, ἢ τὰς ἁρπαγὰς.
Τιμᾶν δίκαιον· οὔτε γὰρ πλοῦτος ποτὲ
Βέβαιος ἄδικος.
10. Ἐκ τῶν πόνων τοι, τἀγαθ' αὔξεται βροτοῖς.
Ὁ δ' ἡδὺς αἰὼν ἡ κακή τ' ἀνανδρία
Οὔτ' οἶκον, οὔτε βίοτον, οὐδὲν ὠφελεῖ.
11. — --- ἐγὼ δὲ τοὺς καλῶς τεθνηκότας
Ζῆν φημὶ μᾶλλον τοῦ βλέποντος μὴ καλῶς.
12. Αἰδοῦς δὲ αὐτὸς δυσκρίτως ἔχω πέρι.
Καὶ δεῖ γὰρ αὐτῆς, κἄστιν οὖ κακὸν μέγα.
13. --- εὔδυσ' ἐν ἀστρώτῳ πέδῳ
Πηγαῖσι δ' --- οὐχ ὑγραίνουσιν πόδας.
14. Αἰθιοπίαν νιν ἐξέσωσας ἐπὶ χθόνα.
15. Ζεῦγος τριπάρθενον.

16. Καί μοι πολὺν γὰρ πέλανον ἐκπίμπτει δόμων.
Φράσον σελήνας τάσδε πυρίμυ χλόης.
17. Βοῦς ἕβδομος.
18. Μίασμα δρυός.
19. Ἀσιάδες κρύματα.

EURYSTHEUS Drama Satyricum.

1. — — — — κύαθον, ἢ χαλκήλατον
Ἠθμὸν, προσίσχων τοῖσδε τοῖς ὑπωπίοις.
2. — — — — πάντας δ᾽ ἐξεθέρισεν, ὡς στάχυν
Πύριμον, σπάθῃ κολώων φασγάνυ μελανδέτυ.
3. Πέμψας δ᾽ ἐς ᾅδυ ζῶντα, κ᾽ ὐ τεθνηκότα,
Καί μοι τὸ τέρθρον δῆλον εἰσπορεύομαι.
4. Πιςὸν μὲν ὖν εἶναι χρὴ τ̃ διάκονον,
Τοιῦτόν τ᾽ εἶναι, καὶ ςέγειν τὰ δεσποτων.
5. Μάτην δὲ θνητοὶ τὺς νόθυς φεύγυσ᾽ ἄρα
Παῖδας φυτεύειν· ὃς γὰρ ἂν χρηςὸς φυῇ,
Οὐ τὔνομ᾽ αὐτῦ τὴν φύσιν διαφθερεῖ.
6. Νῦν δ᾽ ἄν τις οἴκοι πλυσίαν ἔχῃ φάτνην,
Πρῶτος γέγραπται τῶν κακιόνων κράτει,
Τὰ δ᾽ ἔργ᾽ ἐλάσσω χρημάτων νομίζομεν.
7. Οὐκ οἶδ᾽, ὅτῳ χρὴ κανόνι τὰς βροτῶν τύχας
Ὀρθῶς ἀθρήσαντ᾽ εἰδέναι τὸ δραςέον.
8. Σκύρος τε μακρός.
9. Οὐκ ἔςιν, ὦ γεραιὲ, μὴ δείσῃς τάδε.
Τὰ Δαιδάλεια πάντα κινεῖσθαι δοκεῖ
Βλέπειν τ᾽ ἀγάλμαθ᾽, ὧδ᾽ ἀνὴρ κεῖνος σοφός.
10. Ταρτάρειος.

GLAUCUS.

1. Βαρὺ τὸ φόρημ᾽ οἶκος ἀνθρώπυ κακῦ.
2. Ὅταν κακός τις ἐν πόλει πράσσῃ καλῶς,
Νοσεῖν τίθησι τῶν ἀμεινόνων φρένας,
Παράδειγμ᾽ ἔχοντας, τῶν κακῶν ἐξυσίαν.
3. Φεῦ, φεῦ· τὸ γῆρας ὡς ἔχει πολλὰς νόσυς,
Γέροντι δ᾽ ὐχ οἷόν τε μηκύνειν χρόνον
4. Μακρὸς γὰρ αἰὼν συμφορὰς πολλὰς ἔχει.

HIPPOLYTUS Καλυπτόμενος.

1. Μή μοι τύτων μηδὲν ὑπισχνῦ.
2. Ἔγωγέ φημὶ, καὶ νόμον γε μὴ σέβειν
Ἐν τοῖσι δεινοῖς τῶν ἀναγκαίων πλέον.
3. Ὦ πότνι᾽ Αἰδὼς, εἴθε τοῖς πᾶσιν βροτοῖς
Ξυνῦσα τἀναίσχυντον ἐξῄρυ φρενῶν.
4. Οὐ γάρ κατ᾽ εὐσέβειαν αἱ θνητῶν τύχαι,
Τολμήμασιν δὲ καὶ χερῶν ὑπερβολαῖς
Ἁλίσκεταί τε πάντα καὶ θηρεύεται.
5. Οἱ γὰρ Κύπριν φεύγοντες ἀνθρώπων ἄγαν
Νοσῦσ᾽ ὁμοίως τοῖς ἄγαν θηρωμένοις.
6. Ἔχω δὲ τόλμης καὶ θράσυς διδάσκαλον
Ἐν τοῖς ἀμηχάνοισιν εὐπορώτατον,
Ἔρωτα, πάντων δυσμαχώτατον θεόν.
7. Ἀντὶ πυρὸς γὰρ ἄλλο πῦρ μεῖζον ἐκβλαςῦμεν γυναῖκες πολὺ δυσμαχώτερον.
8. Θησεῦ, παραινῶ καὶ τὸ λῷςον φρονεῖν
Γυναικὶ πείθυ μηδὲ τἀληθῆ κλύων.
9 Φεῦ, φεῦ, τὸ μὴ τὰ πράγματ᾽ ἀνθρώποις ἔχειν
Φωνὴν, ἵν᾽ ὖσαν μηδὲν οἱ δεινοὶ λέγειν.
Νῦν δ᾽ εὐρόοισι ςόμασι τἀληθέςατα
Κλέπτυσιν, ὥςε μὴ δοκεῖν ἃ χρὴ δοκεῖν.
10. Ὕβριν τε τίκτει πλῦτος, ἢ φειδὼ βίυ.
11. Ὁρῶ δὲ τοῖς πολλοῖσιν ἀνθρώποις ἐγὼ
Τίκτυσαν ὕβριν τὴν πάροιθ᾽ εὐπραξίαν.
12. — — — πρὸς ἵππων εὐθὺς ὁρμήσας ςάσιν.
13. Τί δ᾽, ἢν λυθῇς με διαβαλεῖς, παθεῖν σε δεῖ;
14. Ὦ λαμπρὸς αἰθὴρ, ἡμέρας θ᾽ ἁγνὸν φάος,
Ὡς ἡδὺ λεύσσειν τοῖς γε πράσσυσιν καλῶς
Καὶ τοῖσι δυςυχῦσιν, ὧν πέφυκ᾽ ἐγώ.
15. Διοπῶ.
16 Ἀλλ᾽ ὐ γὰρ ὀρθῶς ταῦτα κραίνυσιν θεοί.
17. Ἄκαιρος εὔνοι᾽ ὐδὲν ἔχθρας διαφέρει.
18. Ὦ μάκαρ, οἵας ἔλαχες τιμῆς,
Ἱππόλυθ᾽ ἥρως, διὰ σωφροσύνην.
Οὔποτε θνητοῖς ἀρετῆς ἄλλη
Δύναμις μείζων· ἦλθε γὰρ ἢ πρόσθ᾽,
Ἢ μετόπισθεν,
Τῆς εὐσεβείας χάρις ἐσθλή.

HYPSIPYLE.

1. Διόνυσος, ὃς θύρσοισι καὶ νεβρῶν δοραῖς
Καθαπτὸς ἐν πεύκαισι Παρνασσὸν κάτα
Πηδᾷ χορεύων παρθένοις σὺν Δελφίσιν.
2. Οἰνάνθα φέρει τὸν ἱερὸν βότρυν.
3. Περίβαλ᾽, ὦ τέκνον.

4. Ἃ γοῦν παραινῶ, ταῦτά μου δέξαι, γύναι·
Ἔφυ μὲν οὐδεὶς, ὅστις οὐ πονεῖ, βροτῶν,
Θάπτει τε τέκνα, χἄτερ᾽ αὖ σπείρει νέα,
Αὐτός τε θνήσκει· καὶ τάδ᾽ ἄχθονται βροτοὶ
Εἰς γῆν φέροντες γῆν· ἀναγκαίως δ᾽ ἔχει
Βίον θερίζειν, ὥστε κάρπιμον στάχυν,
Καὶ τὸν μὲν εἶναι, τὸν δὲ μή· τί ταῦτα δεῖ
Στένειν, ἅπερ δεῖ κατὰ φύσιν διεκπερᾶν;
Δεινὸν γὰρ οὐδὲν τῶν ἀναγκαίων βροτοῖς.
5. Καθίσας ἔδρεπεν
Ἕτερον ἐφ᾽ ἑτέρῳ
Αἰρόμενος ἄγρευμ᾽ ἀνθέων
Ἡδομένᾳ ψυχᾷ,
Τὸ νήπιον ἄπληστον ἔχων.
6. Κακοῖς τὸ κέρδος τῆς δίκης ὑπέρτερον.
7. Ἔξω γὰρ ὀργῆς πᾶς ἀνὴρ σοφώτερος.
8. Ἄελπτον οὐδέν· πάντα δ᾽ ἐλπίζειν χρεών.
9. Ἀνὰ τὸ δωδεκαμήχανον ἄντρον.
10. Δείξω γὰρ Ἀργείοισιν Ἀχελῴου ῥόον.
11. Ἰδοὺ, πρὸς αἰθέρ᾽ ἐξαμιλλῆσαι κόραις
Γραπτοὺς [ἐν αἰετ] οἷσι προσβλέπων τύπους.
12. Εὔσημα, καὶ σᾶ, καὶ κατεσφραγισμένα.

I N O.

1. Εὕδουσα δ᾽ Ἰνοῦς συμφορὰ πολὺν χρόνον,
Νῦν ὄμμ᾽ ἐγείρει. — — ---
2. Φίλαι γυναῖκες, πῶς ἂν ἐξ ἀρχῆς δόμους
Ἀθάμαντος οἰκήσαιμι, τῶν πεπραγμένων
Δράσασα μηδέν;
3. Πολλοὶ γε θνητῶν τῷ θράσει τὰς συμφορὰς
Ζητοῦσ᾽ ἀμαυροῦν κἀπικρύπτεσθαι κακά.
4. Βίᾳ νυν ἕλκετ᾽, ὦ κακοὶ τιμὰς βροτοὶ,
Καὶ κτᾶσθε πλοῦτον, πάντοθεν θηρώμενοι
Σύμμικτα μὴ δίκαια, καὶ δίκαι᾽ ὁμοῦ.
Ἔπειτ᾽ ἀμᾶσθε τῶνδε δύστηνον θέρος.
5. Τίς ἆρα μήτηρ, ἢ πατὴρ, κακὸν μέγα
Βροτοῖς ἔφυσε, τὸν δυσώνυμον φθόνον;
Ποῦ καὶ πότ᾽ οἰκεῖ σώματος λαχὼν μέρος;
Ἐν χερσὶν, ἢ σπλάγχνοισιν, ἢ παρ᾽ ὄμματα
Ἔσθ᾽ ἡμῖν, ὡς ἦν μόχθος ἰατροῖς μέγας
Τομαῖς ἀφαιρεῖν, ἢ ποτοῖς, ἢ φαρμάκοις,
Πασῶν μεγίστην τῶν ἐν ἀνθρώποις νόσων.
6. Ἴστω δὲ μηδεὶς ταῦθ᾽, ἃ σιγᾶσθαι χρεών.
Μικροῦ γὰρ ἐκ λαμπτῆρος Ἰδαῖον λέπας
Πρήσειεν ἄν τις· καὶ πρὸς ἄνδρ᾽ εἰπὼν ἕνα,
Πύθοιντ᾽ ἂν ἀστοὶ πάντες, ἃ κρύπτειν χρεών.
7. Νόμοι γυναικῶν οὐ καλῶς κεῖνται πέρι·
Χρὴ γὰρ τὸν εὐτυχοῦνθ᾽ ὅτι πλείστας ἔχειν
Γυναῖκας, εἴπερ ἂν τροφὴ δόμοις παρῇν.
Ὡς τὴν κακὴν μὲν ἐξέβαλλε δωμάτων,
Τὴν δ᾽ οὖσαν ἐσθλὴν ἡδέως ἐσῴζετο.
Νῦν δ᾽ εἰς μίαν βλέπουσι, κίνδυνον μέγαν
Ῥίπτοντες· οὐ γὰρ τῶν τρόπων πειρώμενοι
Νύμφας ἐς οἴκους ἑρματίζονται βροτοί.
8. Φεῦ.
Ὅσῳ τὸ θῆλυ δυστυχέστερον γένος
Πέφυκεν ἀνδρῶν· ἔν τε τοῖσι καὶ καλοῖς
Πολλῷ λέλειπται, κἀπὶ τοῖς αἰσχροῖς πλέον.
9. Ὦ θνητὰ πράγματ᾽, ὦ γυναικεῖαι φρένες,
Ὅσον νόσημα τὴν Κύπριν κεκτήμεθα.
10 Τοιάνδε χρὴ γυναικὶ πρόσπολον ἕπειν,
Ἥτις τὸ μὲν δίκαιον οὐ σιγήσεται,
Τὰ δ᾽ αἰσχρὰ μισεῖ, καὶ κατ᾽ ὀφθαλμοὺς ἔχει.
11. Φειδώμεθ᾽ ἀνδρῶν εὐγενῶν, φειδώμεθα·
Κακοὺς δ᾽ ἀποπτύωμεν, ὥσπερ ἄξιοι.
12. --- --- --- τό τ᾽ εὐγενὲς
Πολλὴν δίδωσιν ἐλπίδ᾽, ὡς ἄρξουσι γῆς.
13. Τὴν εὐγένειαν, κἂν ἄμορφος ᾖ γάμος,
Τιμῶσι πολλοὶ πρὸς τέκνων χάριν λαβεῖν,
Τό τ᾽ ἀξίωμα μᾶλλον, ἢ τὰ χρήματα.
14. Ἐπίσταμαι δὲ πάνθ᾽, ὅσ᾽ εὐγενῆ χρεών·
Σιγᾷν, ὅπου δεῖ, καὶ λέγειν, ἵν᾽ ἀσφαλές·
Ὁρᾷν δ᾽, ἃ δεῖ με, κοὐχ ὁρᾷν, ἃ μὴ χρεών.
Γαστρὸς κρατεῖν δέ. καὶ γὰρ ἐν κακοῖσιν ὢν
Ἐλευθέροισιν ἐκπεπαίδευμαι τρόποις.
15. Κέκτησο δ᾽ ὀρθῶς, ἃ ν ἔχῃς ἄνευ ψόγου,
Καὶ μικρὰ σῷζε τῇ δίκῃ ξυνοῦσ᾽ ἀεί.
Μηδ᾽ ὡς κακὸς ναύκληρος εὖ πράξας ποτὲ
Ζητῶν τὰ πλείον᾽, εἶτα πάντ᾽ ἀπώλεσεν.
16. Ὁρᾷς τυράννους διὰ μακρῶν ηὐξημένους
Ὡς μικρὰ τὰ σφάλλοντα, καὶ μί᾽ ἡμέρα
Τὸν μὲν καθεῖλεν ὑψόθεν, τὸν δ᾽ ἦρ᾽ ἄνω.
Ὑπόπτερος δ᾽ ὁ πλοῦτος· οἷς γὰρ ἦν ποτὲ,
Ἐξ ἐλπίδων πίπτοντας ὑπτίους ὁρῶ.
17. Ἄνασσα, πολλοῖς ἐστιν ἀνθρώπων κακά·
Τοῖς δ᾽ ἄρτι λήγει· τοῖς δὲ, κίνδυνος μολεῖν.
Κύκλος γὰρ αὐτὸς καρπίμοις τε γῆς φυτοῖς,
Θνητῶν τε γενεᾷ· τοῖς μὲν αὔξεται βίος,
Τῶν δὲ φθίνει τε, κἀκθερίζεται πάλιν.
18. Ἐν ἐλπίσιν χρὴ τοὺς σοφοὺς ἔχειν βίον.
19. Μήτ᾽ εὐτυχοῦσα πᾶσαν ἡνίαν χάλα,
Κακῶς τε πράσσουσ᾽ ἐλπίδος κεδνῆς ἔχου.
20. --- --- --- μὴ σκυθρωπὸς ἴσθ᾽ ἄγαν
Πρὸς τοὺς κακῶς πράσσοντας, ἄνθρωπος γεγώς.

21. Γίγνωσκε τἀνθρώπεια, μηδ' ὑπερμέτρως
Ἄλγει· κακοῖς γὰρ οὐ σὺ πρόσκεισαι μόνη.
22. Κοίλοις ἐν ἄντροις ἄλυχνος, ὥσπερ θὴρ μόνος.

IXION.

1. Τοῦ μὲν δικαίου τὴν δόκησιν ἄρνυσο,
Τὰ δ' ἔργα τοῦ πᾶν δρῶντος ἔνθα κερδανεῖς.
2. Ὅστις γὰρ ἐπὶ τὸ πλέον ἔχειν πέφυκ' ἀνὴρ,
Οὐδὲν φρονεῖ δίκαιον, οὐδὲ βούλεται,
Φίλοις τ' ἄμικτός ἐστι καὶ πάσῃ πόλει.
3. Τά τοι μέγιστα πάντ' ἀπεργάζεται βροτοῖς
Τόλμ' ὥστε νικᾶν· οὔτε γὰρ τυραννίδες
Χωρὶς πόνου γένοιντ' ἂν, οὔτ' οἶκος μέγας.
4. Φλεγυου υἱὲ δέσποτ' Ἰξίων.

LAMIA.

Τίς τοὔνομα τὸ ἐπονείδιστον βροτοῖς
Οὐκ οἶδε, Λαμίας [τῆς] Λιβυστικῆς γένος;

LICYMNIUS.

1. Φαῦλον ἄκομψον, τὰ μέγιστ' ἀγαθὸν,
Πᾶσαν ἐν ἔργῳ περιτεμνόμενον
Σοφίαν, λέσχης ἀτρίβωνα.
2. Πόνος γὰρ, ὡς λέγουσιν, εὐκλείας πατήρ.
Τευθράντιον δὲ σχῆμα Μυσίας χθονός.
4. Δέσποτα φιλόδαφνε βάκχι, Παιὰν Ἀπολλὼν εὔλυρε.
5. Θριάζειν.

MELANIPPE.

1. Ζεὺς ὅστις ἐστίν· οὐ γὰρ οἶδα, πλὴν λόγῳ
Κλύων.
2. Ζεὺς, ὡς λέλεκται τῆς ἀληθείας ὕπο,
Ἕλλην' ἔτικτε.
3. Δοκεῖτε πηδᾶν τἀδικήματ' εἰς θεοὺς
Πτεροῖσι, κἄπειτ' ἐν Διὸς δέλτου πτυχαῖς
Γράφειν τιν' αὐτὰ, Ζῆνα δ' εἰσορῶντά νιν
Θνητοῖς δικάζειν; οὐδ' ἅπας ἂν οὐρανὸς,
Διὸς γράφοντος τὰς βροτῶν ἁμαρτίας,
Ἐξαρκέσειεν· οὐδ' ἐκεῖνος ἂν σκοπῶν
Πέμπειν ἑκάστῳ ζημίαν· ἀλλ' ἡ δίκη
Ἐνταῦθά που 'στιν ἐγγὺς, εἰ βούλεσθ' ὁρᾶν.
4. Ἀργὸς πολίτης κεῖνος ὡς κακός γ' ἀνήρ.
5. Παπαῖ· νέος καὶ σκαιὸς εἶς ἐστ' ἀνήρ.
6. Δοῦλον γὰρ ἐσθλὸν τοὔνομ' οὐ διαφθερεῖ.
Πολλοὶ δ' ἀμείνους εἰσὶ τῶν ἐλευθέρων.
7. Τῆς μὲν κακῆς κάκιον οὐδὲν γίνεται
Γυναικός· ἐσθλῆς δ' οὐδὲν εἰς ὑπερβολὴν
Πέφυκ' ἄμεινον· διαφέρουσι δ' αἱ φύσεις.
8. Γάμους δ' ὅσοι σπεύδουσι μὴ πεπρωμένους,
Μάτην πονοῦσιν· ἡ δὲ τὸ χρεὼν πόσει
Μένουσα κἀσπούδαστος ἦλθεν εἰς δόμους.
9. Ὅσοι γαμοῦσι δ' ἢ γένει κρείσσους γάμους,
Ἢ πολλὰ χρήματ', οὐκ ἐπίστανται γαμεῖν.
Τὰ τῆς γυναικὸς γὰρ κρατοῦντ' ἐν δώμασι
Δουλοῖ τὸν ἄνδρα, κοὐκέτ' ἔστ' ἐλεύθερος.
Πλοῦτος δ' ἐπακτὸς ἐκ γυναικείων γάμων
Ἀνόνητος· αἱ γὰρ διαλύσεις οὐ ῥᾴδιαι.
10. Μετρίων λέκτρων, μετρίων δὲ γάμων
Μετὰ σωφροσύνης
Κῦρσαι θνητοῖσιν ἄριστον.
11. Πλὴν τῆς τεκούσης θῆλυ πᾶν μισῶ γένος.
12. Ἴστω δ' ἄφρων ὢν, ὅστις, ἄτεκνος ὢν τὸ πρὶν,
Παῖδας θυραίους εἰς δόμους ἐκτήσατο,
Τὴν μοῖραν εἰς τὸ μὴ χρεὼν παραστρέφων.
Ὧι γὰρ θεοὶ διδῶσι μὴ φῦναι τέκνα
Οὐ χρὴ 'γκαλεῖσθαι πρὸς τὸ θεῖον, ἀλλ' ἐᾶν.
13. Ὅστις δ' ἀμείλικτον πατὴρ ἔχει νεανίας
Στυγνόν τ' ἐν οἴκοις, μεγάλα κέκτηται κακά.
14. Ἐγὼ μὲν οὐδὲν οἶδα, πῶς σκοπεῖν χρεὼν
Τὴν εὐγένειαν· τοὺς γὰρ ἀνδρείους φύσιν
Καὶ τοὺς δικαίους τῶν κενῶν δοξασμάτων,
Κἂν ὦσι δούλων, εὐγενεστέρους λέγω.
15. Ὦ τέκνον, ἀνθρώποισιν ἔστιν οἷς βίος
Ὁ μικρὸς εὔκρατος· ἐγένετο δ' ὄγκος κακόν.
16. Τὰ τυγχάνοντα δ' ὅστις εὖ φέρει βροτῶν
Σοφὸν νομίζω· σωφρονεῖν τ' ἐμοὶ δοκεῖ.
17. Παλαιὸς αἶνος· ἔργα μὲν νεωτέρων,
Βουλαὶ δ' ἔχουσι τῶν γεραιτέρων κράτος.
18. Τί δ' ἄλλο; φωνὴ καὶ σκιὰ γέρων ἀνήρ.
19. Τί τοὺς θανόντας οὐκ ἐᾷς τεθνηκέναι,
Καὶ τὰ 'κχυθέντα συλλέγεις ἀλγήματα;
20. Ἀνδρῶν δὲ πολλοὶ τοῦ γέλωτος οὕνεκα
Ἀσκοῦσι χάριτας κερτόμους· ἐγὼ δὲ πως
Μισῶ γελοίους, οἵτινες ἐπὶ σοφῶν
Ἀχάλιν' ἔχουσι στόματα, κ' εἰς ἀνδρῶν μὲν οὐ
Τελοῦσ' ἀριθμὸν, ἐν γέλωτι δ' εὐπρεπεῖς.
Οἰκοῦσι δ' οἴκους καὶ τὰ ναυστολούμενα
Ἔσω δόμων σώζουσι.
21. Τίς τὰ παιδὶ ἐξέθηκεν εἰς πατρὸς βουφόρβια;
22. Οὐκ ἐμὸς ὁ μῦθος, ἀλλ' ἐμῆς μητρὸς πάρα·
Ὡς οὐρανός τε γαῖά τ' ἦν μορφὴ μία·
Ἐπεὶ δ' ἐχωρίσθησαν ἀλλήλων δίχα.

Τίκτουσι πάντα κἀνδίδωκαν εἰς φάος
Δένδρη, πετεινὰ, θῆρας, οὓς θ' ἅλμη
τρέφει,
Γένος τε θνητῶν.
23. — — — εἰ δὲ παρθένος
Φθαρεῖσά [γ'] ἐξέθηκέ [νυν] τὰ παιδία,
Φοβουμένη τὸν πατέρα, σὺ δράσεις φόνον;
24. Ἴσως ἀλάστορας οὐκ ἐτόλμησε κτανεῖν.
25. Οὐκ ἔστι πράττοντάς τι μοχθηρὸν λα-
θεῖν·
Ὀξὺ βλέπει γὰρ ὁ χρόνος, ὃς τὰ πάνθ'
ὁρᾷ.
26. Ἄλγιστόν ἐστι θῆλυ μισηθὲν γένος·
Αἱ γὰρ σφαλεῖσαι ταῖσιν οὐκ ἐσφαλμέναις
Αἶσχος γυναιξὶ καὶ κεκοίνωνται ψόγον,
Ταῖς οὐ κακαῖσιν αἱ κακαί· τὰ δ' εἰς γάμους
Οὐδὲν δοκοῦσιν ὑγιὲς ἀνδράσιν φρονεῖν.
27. Ἡ πρῶτα μὲν τὰ θεῖα προὐμαντεύσατο
Χρησμοῖσι σαφέσιν, ἀστέρων ἐπ' ἀντολαῖς.
28. Τὸν δ' ἀμφὶ βοῦν ῥιφέντα Βοιωτὸν καλεῖ.

MELEAGER.

1. Καλυδὼν μὲν ἥδε γαῖα, Πελοπίας χθονὸς
Ἐν ἀντιπόρθμοις πεδί' ἔχουσ' εὐδαίμονα.
Οἰνεὺς δ' ἀνάσσει τῆσδε γῆς Αἰτωλίας,
Πορθάονος παῖς, ὅς ποτ' Ἀλθαίαν γαμεῖ,
Λήδας ὅμαιμον, Θεστίου δὲ παρθένον.
[Οὗτός] ποτ' ἐκ γῆς πολύμετρον λαβὼν
στάχυν,
Θύων ἀπαρχὰς, οὐκ ἔθυσεν [ἐν μέρει]
Ἀρτέμιδι.
2. Μελέαγρε, μελίαν γάρ ποτ' ἀγρεύεις
ἄγραν.
3. Κερκίδος ἀοιδοῦ μελέτας.
4. Σιδηροβριθές τ' ἔλαβε δεξιᾷ ξύλον.
5. Τὸ μὲν . . . ἐν φῶ· τὸ δὲ κατὰ σκότος,
κακόν.
6. Τελαμὼν δὲ χρυσοῦν αἰετὸν πέλτης ἔπι
Πρόβλημα θηρὸς, βότρυσι δ' ἔστεψεν κάρα,
Σαλαμῖνα κοσμῶν πατρίδα τὴν εὐδαί-
μονα.
Κύπριδος δὲ μίσημ' Ἀρκὰς Ἀταλάντη,
κύνας
Καὶ τόξ' ἔχουσα, πελέκεως δὲ δίστομον
Γένυν πάλλ' Ἀγκαῖος· οἱ δὲ Θεστίου
Κόροι τὸ λαιὸν ἴχνος ἀνάρβυλοι ποδὸς,
Τὸν δ' ἐν πεδίλοις ὡς ἐλαφρίζον γόνυ
Ἔχοιεν, ὃς δὴ πᾶσιν Αἰτωλοῖς νόμος.
7. Δειλοὶ γὰρ ἄνδρες οὐκ ἔχουσιν ἐν μάχῃ
Ἀριθμὸν, ἀλλ' ἄπεισι, κἂν παρῶσ' ὅμως.
8. Ὡς ἡδὺ δούλοις δεσπότας χρηστοὺς λα-
βεῖν,
Καὶ δεσπόταισι δοῦλον εὐμενῆ δόμοις.
9. Εἰ δ' εἰς γάμους ἔλθοιμ', ὃ μὴ τύχοι ποτέ,
Τῶν ἐν πόνοισιν ἡμερευουσῶν ἀεὶ
Βελτίον' ἂν τέκοιμι δώματι τέκνα.
Ἐκ γὰρ πατρὸς καὶ μητρὸς ἐκπονουμένων
Σκληρὰς διαίτας, οἱ γόνοι βελτίονες.
10. Ἡγησάμην οὖν, εἰ παραζεύξειέ τις
Χρηστῷ πονηρὸν λέκτρον, οὐκ ἂν εὐτεκνεῖν·
Ἐσθλοῖν δὲ τ' ἀμφοῖν ἐσθλὸν ἀμφοῖν ἔκγο-
νον.
11. Εἰ κερκίδων μὲν ἀνδράσιν μέλοι πόνος,
Γυναιξὶ δ' ὅπλων ἐμπέσοιεν ἡδοναί,
Ἐκ τῆς ἐπιστήμης γὰρ ἐκπεπτωκότες
Κεῖνοί τ' ἂν οὐδὲν εἰσὶν, οὐδ' ὑμεῖς ἔτι.
12. Ἔνδον μένουσαν τὴν γυναῖκ' εἶναι χρεὼν
Ἐσθλήν· θύραζε δ' ἀξίαν τοῦ μηδενός.
13. Καὶ κτῆμα δ', ὦ τεκοῦσα, κάλλιστον τόδε,
Πλούτου δὲ κρεῖσσον· τοῦ μὲν ὠκεῖα πτέρυξ·
Παῖδες δὲ χρηστοὶ, κἂν θάνωσι δώμασι
Καλὸν τὸ θησαύρισμα, τοῖς τεκοῦσί τε
Ἀνάθημα βιότου, κοὔποτ' ἐκλείπει δόμους.
14. Μόνον δ' ἂν αὐτὰ χρημάτων οὐκ ἂν
λάβοις,
Γενναιότητα, κἀρετήν· καλὸς δέ τις
Κἀκ τῶν πονηρῶν σωμάτων γένοιτο παῖς.
15. Τοὺς ζῶντας εὖ δρᾶν· κατθανὼν δὲ
πᾶς ἀνὴρ
Γῆ καὶ σκιά· τὸ μηδὲν εἰς οὐδὲν ῥέπει.
16. Φεῦ· τὰ τῶν εὐδαιμονούντων ὡς τά-
χα στρέφει θεός.
17. Τερπνὸν τὸ φῶς μοι· τὸ δ' ὑπὸ γῆν
Ἅδου σκότος
Οὐδ' εἰς ὄνειρον οὐδεὶς ἀνθρώπους μολεῖν.
Ἐγὼ μὲν οὖν γεγῶσα τηλίκη δόμου
Ἀπέπτυσ' αὐτὸ, κοὔποτ' εὔχομαι θανεῖν.
18. Εἰς ἀνδροβρῶτας ἡδονὰς ἀφίξεται
Κάρηνα Τυδεὺς γεύουσι Μελανίππου σπάσας.
19. Ὁρᾷς σύ νυν δή μ' ὡς ἐπρέϋνας, Τύχη.
20. Καθωσίωσε.
21. Ἀντήλιοι θεοί.
22. Ἡ γὰρ Κύπρις πέφυκε σκότῳ φίλη,
Τὸ φῶς δ' ἀνάγκην προστίθησι σωφρονεῖν.
23. Ὦ Ζεῦ, γένοιτο καταβαλεῖν τὰν σὺν
ἐμέ.

OEDIPUS.

1. Πᾶσα γὰρ δούλη πέφυκεν ἀνδρὸς ἡ σώ-
φρων γυνή,
Ἡ δὲ μὴ σώφρων ἀνοίᾳ τὸν ξυνόνθ' ὑπερ-
φρονεῖ.
2. — — — πᾶσα γὰρ ἀνδρὸς
Κακίων ἄλοχος, κἂν ὁ κάκιστος

Γάμῳ τὴν εὐδοκιμοῦσαν.

3. Ἡμεῖς δὲ Πολύβου παῖδ᾽ ἐρείσαντες πέδῳ
Ἐξομματοῦμεν καὶ διόλλυμεν κόρας.

4. Εἱμαρμένον δὲ τῶν κακῶν βουλευμάτων
Κακὰς ἀμοιβὰς ἐστι καρποῦσθαι βροτούς.

5. Οὔτοι νόμισμα λευκὸς ἄργυρος μόνον
Καὶ χρυσός ἐστιν· ἀλλὰ κἀρετὴ βροτοῖς
Νόμισμα κεῖται πᾶσιν, ᾗ χρῆσθαι χρεών.

6. Πότερα γενέσθαι δῆτα χρησιμώτερον
Συνετὸν ἄτολμον, ἢ θρασύν τε κἀμαθῆ.
Τὸ μὲν γὰρ αὐτοῖν σκαιὸν, ἀλλ᾽ ἀμύνεται.
Τὸ δ᾽ ἡσυχαῖον ἀργόν· ἐν δ᾽ ἀμφοῖν νόσος.

7. Φθόνος δ᾽ ὁ πολλῶν φρένα διαφθείρων βροτῶν,
Ἀπώλεσ᾽ αὐτὸν κἀμὲ συνδιώλεσεν.

8. Νῦν χρὴ θεᾶσθ᾽ οὐδέν τι τῆς εὐμορφίας
Ὄφελος, ὅταν τις μὴ φρένας καλὰς ἔχῃ.

9. Μεγάλη τυραννὶς ἀνδρὶ τέκνα καὶ γυνή·
Ἴσην γὰρ ἀνδρὶ συμφορὰν εἶναι λέγω,
Τέκνων θ᾽ ἁμαρτεῖν καὶ πάτρας καὶ χρημάτων
Ἀλόχου τε κεδνῆς· ὡς μόνων τῶν χρημάτων
Ἡ κρεῖσσόν ἐστι τἀνδρὶ, σώφρον᾽, ἂν λάβῃ.

10. Ἄλλων δὲ πάντων δυσμαχώτατον γυνή.

11. Πολλάς γ᾽ ὁ δαίμων τοῦ βίου μεταστάσεις
Ἔδωκεν ἡμῖν, μεταβολάς τε τῆς τύχης.

12. Ἀλλ᾽ ἡμέρα τοι μεταβολὰς πολλὰς ἔχει.

13. Ἐκμαρτυρεῖν γὰρ ἄνδρα τὰς αὑτοῦ τύχας
Εἰς πάντας ἀμαθές· τὸ δ᾽ ἐπικρύπτεσθαι σοφόν.

14. Ἐκ τῶν ἀέλπτων ἡ χάρις μείζων βροτοῖς
Φανεῖσα, μᾶλλον ἢ τὸ προσδοκώμενον
[Τέρπει.]

15. Ἑνὸς δ᾽ ἔρωτος ὄντος οὐ μί᾽ ἡδονή.
Οἱ μὲν κακῶν ἐρῶσιν, οἱ δὲ τῶν καλῶν.
Ὁ δ᾽ εἰς τὸ σῶφρον ἐπ᾽ ἀρετήν τ᾽ ἄγων ἔρως
Ζηλωτὸς ἀνθρώποισιν, ὧν εἴην ἐγώ.

16. Οὐρὰν ὑπίλλουσ᾽ ὑπὸ λεοντόπουν βάσιν
Ἐκαθίζετ᾽.

17. Τὴν Ἀφροδίτην οὐχ ὁρᾷς ὅση θεός;
Ἣν οὐδ᾽ ἂν εἴποις οὐδὲ μετρήσειας ἂν,
Ὅση πέφυκε κἀφ᾽ ὅσον διέρχεται.
Αὕτη τρέφει σε κἀμὲ καὶ πάντας βροτούς·
Τεκμήριον δὲ μὴ λόγῳ μόνον μάθῃς,
Ἔργῳ δὲ δείξω τὸ σθένος τὸ τῆς θεοῦ.
Ἐρᾷ μὲν ὄμβρου γαῖ᾽, ὅτ᾽ ἂν ξηρὸν πέδον
Ἄκαρπον αὐχμῷ νοτίδος ἐνδεῶς ἔχῃ.
Ἐρᾷ δ᾽ ὁ σεμνὸς οὐρανὸς πληρούμενος
Ὄμβρου πεσεῖν εἰς γαῖαν Ἀφροδίτης ὕπο.
Ὅταν δὲ συμμιχθῆτον εἰς ταυτὸν δύο,
Τίκτουσιν ἡμῖν πάντα, κἀκτρέφουσ᾽ ἅμα,
Ὅθεν βρότειον ζῇ τε καὶ θάλλει γένος.

OENEUS.

1. Ὦ γῆς πατρῴας χαῖρε φίλτατον πέδον
Καλυδῶνος, ἔνθεν αἷμα συγγενὲς φυγὼν
Τυδεὺς, τόκος μὲν Οἰνέως, πατὴρ δ᾽ ἐμὸς,
Ὤικησεν Ἄργος, παῖδα δ᾽ Ἀδράστου λαβὼν
Συνῆψε γένναν.

2. Διο. Σὺ δ᾽ ὧδ᾽ ἔρημος ξυμμάχων ἀπόλλυσαι;
Οιν. Οἳ μὲν γὰρ οὐκέτ᾽ εἰσὶν, οἱ δ᾽ ὄντες κακοί.

3. Ἐγὼ δὲ πατρὸς αἷμ᾽ ἐτιμωρησάμην,
Σὺν τοῖς ἐφηβήσασι τῶν ὀλωλότων.

4. Ἀλλ᾽ ἄλλος ἄλλοις μᾶλλον ἥδεται τρόποις.

5. --- --- -- τὰς βροτῶν
Γνώμας σκοτίζων, ὥστε Μαγνῆτις λίθος,
Τὴν δόξαν ἕλκει, καὶ μεθίστησιν πάλιν.

6. Ὡς οὐδὲν ἀνδρὶ πιστὸν ἄλλο, πλὴν τέκνων·
Κέρδους δ᾽ ἕκατι καὶ τὸ συγγενὲς νοσεῖ.

7 Σχολὴ μὲν οὐχί· τῷ δυστυχοῦντί πως
Τερπνὸν τὸ κλαῦσαι κἀποδύρασθαι τύχας.

8. Πυκναῖς δ᾽ ἔβαλλον Βακχίου τοξεύμασιν
Κάρα γέροντος· τὸν βαλόντα δὲ στέφειν
Ἐγὼ τεταγμένη ἆθλα κοττάβων διδούς.

9. Ὅταν κακοὶ πράξωσιν, ὦ ξένοι, καλῶς,
Ἄγαν κρατοῦντες, κ᾽ οὐ νομίζοντες δίκην
Δώσειν, ἔδρασαν πάντ᾽ ἐφέντες ἡδονῇ.

10. Σὺ δὲ τρέφοντα τοῦτον τρέφεις.

11. Ὀχληρὸς οὐ, δοκῶν δὲ κοιράνους στυγεῖν.

OENOMAUS.

1. Ὁ πλεῖστα πράσσων πλεῖσθ᾽ ἁμαρτάνει βροτῶν.

2. Ἀμηχανῶ δ᾽ ἔγωγε, κοὐκ ἔχω μαθεῖν,
Εἴτ᾽ οὖν ἄμεινόν ἐστι γίγνεσθαι τέκνα
Θνητοῖσιν, εἴτ᾽ ἄπαιδα καρποῦσθαι βίον.
Ὁρῶ γὰρ, οἷς μὲν οὐκ ἔφυσαν, ἀθλίους·
Ὅσοισι δ᾽ εἰσὶν, οὐδὲν εὐτυχεστέρους·
Καὶ γὰρ κακοὶ γεγῶτες ἐχθίστη νόσος,
Κἂν αὖ γενῶνται σώφρονες, κακὸν μέγα.
Λυποῦσι τὸν φύσαντα, μὴ πάθωσί τι.

3. Ἔνεστι πάντων πρῶτον εἰδέναι τουτὶ,
Φέρειν τὰ συμπίπτοντα μὴ παλιγκότως.
Καὶ οὗτος ἀνὴρ ἄριστος, αἵ τε συμφοραὶ
Ἧττον δάκνουσιν· ἀλλὰ ταῦτα γὰρ λέγειν
Ἐπιστάμεσθα, δρᾶν δ᾽ ἀμηχάνως ἔχει.

4. Ὅστις δὲ θνητῶν βούλεται δυσώνυμον
Εἰς γῆρας ἐλθεῖν, οὐ λογίζεται καλῶς·
Μακρὸς γὰρ αἰὼν μυρίους τίκτει πόνους.

5. Ἀλλ' ἔστι γάρ δὴ κἀν κακοῖσιν ἡδονὴ
Θνητοῖς, ὀδυρμοὶ δακρύων τ' ἐπιῤῥοαί.
Ἀλγηδόνας δὲ ταῦτα κουφίζει φρενῶν
Καὶ καρδίας ἔλυσε τοὺς ἄγαν πόνους.
6. Τεκμαιρόμεσθα τοῖς παροῦσι τἀφανῆ.

PALAMEDES.

1. Στρατηλάται δ' ἂν μυρίοι γενοίμεθα.
Σοφὸς δ' ἂν εἷς τις, ἢ δύ', ἐν μακρῷ χρόνῳ.
2. Τὰ τῆς γε λήθης φάρμακ' ὀρθώσας μόνος
Ἄφωνα καὶ φωνοῦντα συλλαβὰς τιθεὶς
Ἐξεῦρον ἀνθρώποισι γράμματ' εἰδέναι,
Ὥστ' οὐ παρόντα ποντίας ὑπὲρ πλακὸς
Τἀκεῖ κατ' οἴκους πάντ' ἐπίστασθαι καλῶς·
Παισίν τ' ἀποθνήσκοντα χρημάτων μέτρον
Γράψαντα λείπειν, τὸν λαβόντα δ' εἰδέναι.
Ἃ δ' εἰς ἔριν πίπτουσιν ἀνθρώποις κακὰ
Δέλτος διαιρεῖ, κ' οὐκ ἐᾷ ψευδῆ λέγειν.
3. Ἀγάμεμνον, ἀνθρώποισι πᾶσιν αἱ τύχαι
Μορφὴν ἔχουσι· συντρέχει δ' εἰς χρήματα
Τούτου δὴ πάντες· οἵ τε μουσικῆς φίλοι,
Ὅσοι τε χωρὶς ζῶσι, χρημάτων ὕπερ
Μοχθοῦσιν. ὃς δ' ἂν πλεῖστ' ἔχει, σοφώτατος.
4. Κώπην χρυσόκολλον.
5. Οὐ σὺν Διονύσῳ
Κώμων ὃς ἀν' Ἴδαν
Τέρπεται σὺν ματρὶ φίλᾳ
Τυμπάνων ἰάκχοις.
6. Δεικωδώνισε.
7. Ἐκάνετ', ἐκάνετε
Τὰν πάνσοφον, ὦ Δαναοί,
Τὰν οὐδὲν ἀλγύνουσαν
Ἀηδόνα Μουσᾶν.
8. Αἴας πάλαι δή σ' ἐξερωτῆσαι θέλων,
Σχολή μ' ἀπεῖργε.
9. Εἷς τοι δίκαιος μυρίων οὐκ ἐνδίκων
Κρατεῖ, τὸ θεῖον τὴν δίκην τε συλλαβών.

PELEUS.

1. Ἰὼ πύλαισιν ἥτις ἐν δόμοις.
2. Κλῦτε, Μοῖραι, Διός αἵ τε παρὰ θρόνον ἀγχύτατα θεῶν ἑζόμεναι.
3 Οὐκ ἔστιν ἀνθρώποισι τοιοῦτο σκότος,
Οὐ δῶμα γαίας κλειστὸν, ἔνθα τὴν φύσιν
Ὁ δυσγενὴς κρύψας ἂν εἴη σοφός.
4. Τὸν ὄλβον οὐδὲν οὐδαμοῦ κρίνω βροτοῖς,
Ὃν γ' ἐξαλείφει ῥᾷον, ἢ γράφει, θεός.
5. Τὸ γῆρας, ὦ παῖ, τῶν νεωτέρων φρενῶν
Σοφώτερον πέφυκε κἀσφαλέστερον,
Ἐμπειρία τε τῆς ἀπειρίας κρατεῖ.

PELIADES.

1. Μήδεια, πρὸς μὲν δώμασιν τυραννικοῖς.
2. Τί χρῆμα δράσας; φράζε μοι σαφέστερον.
3. Οὐκ ἔστι τὰ τῶν θεῶν ἄδικ'· ἐν ἀνθρώποισι δὲ
Κακοῖς νοσοῦντα σύγχυσιν πολλὴν ἔχει.
4. Πρὸς κέντρα μὴ λάκτιζε τοῖς κρατοῦσι σου.
5. Τὸ δ' ἔσχατον δὴ τοῦτο θαυμαστὸν βροτοῖς
Τυραννίς· οὐχ εὕροις ἂν ἀθλιώτερον.
Φίλους τε πορθεῖν καὶ κατακτανεῖν χρεὼν,
Πλεῖστος φόβος πρόσεστι, μὴ δράσωσί τι.
6. Αἰνῶ· διδάξαι δ', ὦ τέκνον, σὲ βούλομαι,
Οἷαν μὲν ἧς παῖς, μὴ πλέον παιδὸς φρονεῖν,
Ἐν παρθένοις δὲ παρθένου τρόπους ἔχειν.
Οἷαν δ' ὑπ' ἀνδρὸς χλαῖναν εὐγενοῦς πέσῃς
Τὰ δ' ἄλλ' ἀφεῖναι μηχανήματ' ἀνδράσιν.
7. Ὁρῶσι δ' οἱ διδόντες εἰς τὰ χρήματα..
8. Ὄβρια.

PHAETHON.

1. --- --- δοθῆναι Μέροπι τῆσδ' ἄνακτι γῆς,
Ἣν ἐκ τεθρίππων ἁρμάτων πρώτην χθόνα
Ἥλιος ἀνίσχων χρυσέᾳ βάλλει φλογί.
Καλοῦσι δ' αὐτὴν γείτονες μελάμβροτοι
Ἕω φαεννὰν, ἡλίου θ' ἱπποστάσεις.
2. Ὡς πανταχοῦ γε πατρὶς ἡ βόσκουσα γῆ.
3. Ἐν τοῖσι μωροῖς τοῦτον ἐγκρίνω βροτῶν
Ὅστις πατὴρ ὢν παισὶ μὴ φρονοῦσιν εὖ,
Ἢ καὶ πολίταις, παραδίδωσ' ἐξουσίαν.
4 Ναῦν τοι μί' ἄγκυρ' οὐδαμῶς σώζειν φιλεῖ,
Ὡς τρεῖς ἀφέντι· προστάτης θ' ἁπλοῦς πόλει
Σφαλερὸς, ὑπὼν δὲ κἄλλος οὐ κακὸν πόλει.
5. Δεινόν γε τοῖς πλουτοῦσι τοῦτο δ' ἔμφυτον
Σκαιοῖσιν εἶναι· τί ποτε τούτου αἴτιον;
Ἆρ' ὄλβος αὐτοῖς ὅτι τυφλὸς συνηρεφεῖ
Τυφλὰς ἔχουσι τὰς φρένας καὶ τῆς τύχης.
6. Μὴ θίγῃς ἡνιῶν, παιδίον, ἄπειρος ἂν, μηδ' ἀναβῇς τὸν
Δίφρον ἐλαύνειν μὴ μαθών.
7. Ἔλα δὲ μηδὲ Λιβυκὸν αἰθέρ' ἐμβαλών·
Κρᾶσιν γὰρ ὑγρὰν οὐκ ἔχων ἁψῖδα σὴν
Κάτω διήσει.
8 Ἵει δ' ἐφ' ἑπτὰ Πλειάδων ἔχων δρόμον.
Τοσαῦτ' ἀκούσας εἶτ' ἔμαρψεν ἡνίας·
Κρούσας δὲ πλευρὰν πτεροφόρων ὀχημάτων,

Μεθῆκεν· αἱ δ' ἔπταντ' ἐπ' αἰθέρος πλύ-
χας.
Πατὴρ δ', ὄπισθε νῶτα Σειρίου βεβὼς,
Ἵππευε παῖδα νυθετῶν· ἐκεῖσ' ἔλα·
Τῇ ῥα· σρέφ' ἅρμα· τῇδε.
9. --- --- --- φίλος δέ μοι.
Ἀλλ' ὗτος ἐν φάραγξι σήπεται νέκυς.
10. Ὦ χρυσοφεγγὲς Ἥλι', ὥς μ' ἀπώ-
λεσας,
Ὅθεν σ' Ἀπόλλων' ἐμφανῶς κλήζει βροτός.
11. Μισῶ δ' εὐάγκαλον τόξον. Κρανεῖαι
γυμνάσιά τ'
Οἴχοιτο.
12. --- --- --- ψυκτήρια
Δένδρεα φίλαισιν ὠλέναισι δέξεται.
13. Θερμὴ δ' ἄνακτος φλὸξ, ὑπερτέλλυ-
σα γῆς,
14. Καίει τὰ πόῤῥω, τἀγγύθεν δ' εὔκ-
ρατ' ἔχει.
15. Ἐλεύθερος δ' ὢν δῦλός ἐςι τῦ λέχυς,
Πεπραμένον τὸ σῶμα τῆς φερνῆς ἔχων.

PHAEDRA.

1. Ἔρως γὰρ ἄνδρας ὐ μόνυς ἐπέρχεται,
Οὐδ' αὖ γυναῖκας, ἀλλὰ ϗ θεῶν ἄνω
Ψυχὰς ταράσσει κἀπὶ πόντον ἔρχεται.
Καὶ τόνδ' ἀπείργειν ὐδ' ὁ παγκρατὴς σθένει
Ζεὺς, ἀλλ' ὑπείκει ϗ θέλων ἐγκλίνεται.

PHILOCTETES.

1. Πῶς δ' ἂν φρονοίην, ᾧ παρῆν ἀπραγ-
μόνως,
Ἐν τοῖσι πολλοῖς ἠριθμημένῳ σρατῦ,
Ἴσον μετασχεῖν τῷ σοφωτάτῳ τύχης.
Ἀλλ' ὐδὲν ὕτω γαῦρον, ὡς ἀνὴρ, ἔφυ·
Τὺς γὰρ περισσὺς καὶ τι πράσσοντας πλέον
Τιμῶμεν, ἄνδρας τ' ἐν πόλει νομίζομεν.
2. Ὀκνῶ ϛ μόχθων τῶν πρὶν ἐκχέαι χάριν,
Καὶ τὺς πιτνῦντας ὐκ ἀπωθῦμαι πόνυς.
3. ------ καὶ τἀρχὰς δ' ὐδαμῶς ἀνεκτὸς ἦν.
4. Φαγέδαινά [γ'], ἥ μυ σάρκα θοινᾶ-
ται ποδός.
5. Ἅλις, ὦ βιοτά, πέραινε,
Πρίν τινα συντυχίαν
Ἢ κτεάτεσσιν ἐμοῖς,
Ἢ σώματι τῷδε γενέσθαι.
6. Τί δῆτα θώκοις ἀρχικοῖς ἐνήμενοι
Σαφῶς διόμνυσθ' εἰδέναι τὰ δαιμόνων,
Οἱ τῶνδε χειρώνακτες ἄνθρωποι λόγων.
Ὅςις γὰρ αὐχεῖ θεῶν ἐπίςασθαι πέρι,
Οὐδέν τι μᾶλλον οἶδεν, ἢ πείθειν λέγων.

7. Ὅρα τ' ἴθ', ὡς κἀν θεοῖσι κερδαίνειν
καλόν·
Θαυμάζεται δ' ὁ πλεῖςον ἐν ναοῖς ἔχων
Χρυσόν· τί δῆτα καί σε κωλύει λαβεῖν
Κέρδος, παρόν γε, κἀξομοιῦσθαι θεοῖς.
8. Μακάριος, ὅςις εὐτυχῶν οἴκοι μένει·
Ἐν γῇ δ' ὁ φόρτος, κ' ὐ πάλιν ναυτίλλεται.
9. Ὑπέρ γε μέντοι παντὸς Ἑλλήνων σρατῦ
Αἰσχρὸν σιωπᾶν, βαρβάρυς δ' ἐᾶν λέγειν.
10. Ὥσπερ ϛ θνητὸν ϗ τὸ σῶμ' ἡμῶν ἔφυ,
Οὕτω προσήκει μηδὲ τὴν ὀργὴν ἔχειν
Ἀθάνατον, ὅςις σωφρονεῖν ἐπίςαται.
11. Τίς δ' ἄν σε νύμφη, τίς ϛ παρθένος νέα
Δέξαιτ' ἄν; εὖ γῦν ὡς γαμεῖν ἔχεις, τάλας.
12. Πατρὶς καλῶς πράσσυσα τ' εὐτυχῦντ'
ἀεὶ
Μείζω τίθησι, δυςυχῦντα δ' ἀσθενῆ.
13. Λέξω δ' ἐγώ, κ[..]ν μυ διαφθείρας δοκῇ
Λόγυς ὑποςὰς αὐτὸς ἠδικηκέναι.
Ἀλλ' ἐξ ἐμῦ γὰρ τἀμὰ μαθήσῃ κλύων,
Ὁ δ' αὐτὸς αὐτὸν ἐμφανιεῖ σοι λέγων.

PHOENIX.

1. — — — τἀφανῆ
Τεκμηρίοισιν εἰκότως ἁλίσκεται.
2. Φθόνον ὐ σέβω· φθονεῖσθαι δ'
Ἐθέλοιμ' ἂν ἐπ' ἐσθλοῖς.
3. Σὺ δ', ὦ πατρῴα χθὼν ἐμῶν γεννητόρων,
Χαῖρ'· ἀνδρὶ γάρ τοι, κἂν ὑπερβάλλῃ κακοῖς,
Οὐκ ἔςι τῦ θρέψαντος ἥδιον πέδον.
4. Μοχθηρόν ἐςιν ἀνδρὶ πρεσβυτῃ τεκνῦν,
Δμώς τ' ἔςιν, ὅςις ὐκέθ' ὥρκιος γαμεῖ·
Δέσποινα γὰρ γέροντι νυμφίῳ γυνή.
5. Πικρὸν νέᾳ γυναικὶ πρεσβύτης ἀνήρ.
6. Γυνή τε πάντων ἀγριώτατον κακόν.
7. Μέγιςον ἄρ' ἦν ἡ φύσις· τὸ γὰρ κακὸν
Οὐδεὶς τρέφων εὖ χρηςὸν ἂν θείη ποτέ.
8. Ὦ γῆρας, οἷον τοῖς ἔχυσιν εἶ κακόν;
9. Ἤδη δέ πολλῶν ἡρέθην λόγων κρίτης,
Καὶ πόλλ' ἁμιλληθέντα μαρτύρων ὕπο
Τἀναντί' ἔγνων συμφορᾶς μιᾶς πέρι.
Κἀγὼ μὲν ὕτως, ὅςις ἐς' ἀνὴρ σοφός,
Λογίζομαι τἀληθὲς, εἰς ἀνδρὸς φύσιν
Σκοπῶν, δίαιτάν ἥντιν' ἐμπορεύεται.
Ὅςις δ' ὁμιλῶν ἥδεται κακοῖς ἀνὴρ,
Οὐ πώποτ' ἠρώτησα, γιγνώσκων. ὅτι
Τοιῦτός ἐςιν οἷσπερ ἥδεται ξυνών.
10. Δμωσὶ δ' ἐμοῖσιν εἶπον ὡς ταυτηρί-
αις τυρίδες καὶ διηπέτη
Κτεῖναι.
11. Ἀμνήςευτος γυνή.

PHRYXUS.

1. Σιδώνιόν ποτ' ἄστυ Κάδμος ἐκλιπὼν,
Ἀγήνορος παῖς ἵκετ' ἐς Θήβης πέδον.
2. Ἦσαν γὰρ, [ὡς λέγουσ'] Ἀγήνορος κόροι
Κίλιξ, ἀφ' οὗ καὶ Κιλικία κικλήσκεται·
Φοῖνιξ, ὅθενπερ τοὔνομ' ἡ χώρα φέρει·
Καὶ Θάσος.
3. Δι' ἐλπίδος ζῆ, καὶ δι' ἐλπίδος τρέφου.
4. Καὶ τῶν ἀνοῖξαι μὲν σιροὺς οὐκ ἠξίου.
5. Ὅστις δὲ θνητῶν οἴεται, καθ' ἡμέραν
Κακόν τι πράσσων τοὺς θεοὺς λεληθέναι,
Δοκεῖ πονηρὰ, καὶ δοκῶν ἁλίσκεται,
Ὅταν σχολὴν ἄγουσα τυγχάνῃ Δίκη·
[Τιμωρίᾳ τ' ἔτισεν ὧν ἦρξεν κακῶν.]
Ὁρᾶθ', ὅσοι νομίζετ', οὐκ εἶναι θεὸν,
Δὶς ἐξαμαρτάνοντες οὐκ εὐγνωμόνως.
Ἔστιν γὰρ, ἔστιν· εἰ δέ τις πράσσει καλῶς
Κακὸς πεφυκὼς, τὸν χρόνον κερδαινέτω,
Χρόνῳ γὰρ οὗτος ὕστερον δώσει δίκην.
6. Εἰ δ' εὐσεβὴς ὢν τοῖσι δυσσεβεστάτοις
Εἰς ταὔτ' ἔπρασσον, πῶς τάδ' ἂν καλῶς
ἔχοι;
Εἰ Ζεὺς ὁ λῷστος μηδὲν ἔνδικον φρονεῖ.
7. Λάτρις πενέστης ἁμὸς ἀρχαίων δόμων.
8. Ἀνὴρ δ' ὃς εἶναι φῂς, ἀνέρος οὐκ ἄξιον
Δειλὸν κεκλῆσθαι, καὶ νοσεῖν αἰσχρὰν νόσον.
9. Αἱ γὰρ πόλεις εἴσ' ἄνδρες, οὐκ ἐρημία.
10. Πολλοῖσι δούλοις τοὔνομ' αἰσχρὸν· ἡ δὲ
φρὴν
Τῶν οὐχὶ δούλων ἔστ' ἐλευθερωτέρα.
11. Γυνὴ γὰρ ἐν κακοῖσι καὶ νόσοις πόσει
Ἥδιστόν ἐστι, δώματ' ἢν οἰκῇ καλῶς,
Ὀργήν τε πραΰνουσα καὶ δυσθυμίας
Ψυχὴν μεθιστᾶσ'· ἡδὺ καὶ ἀπάται φίλων.
12. Ὡς οὐδὲν ὑγιὲς φασι μητρυιὰς φρονεῖν
Νόθοισι παισὶν, ὧν φυλάξομαι ψόγον.
13. Δίκαι' ἔλεξε· χρὴ γὰρ εὐναίῳ πόσει
Γυναῖκα κοινῇ τὰς τύχας φέρειν ἀεί.
14. Κρείσσων δὲ βαιὸς ὄλβος ἀβλαβὴς βροτοῖς,
Ἢ δῶμα πλούτῳ δυσσεβῶς ὠγκωμένον.
15. Τίς δ' οἶδεν εἰ ζῆν τοῦθ', ὃ κέκληται
θανεῖν,
Τὸ ζῆν δὲ θνήσκειν ἐστί· πλὴν ὅμως βροτῶν
Νοσοῦσιν οἱ βλέποντες, οἱ δ' ὀλωλότες
Οὐδὲν νοσοῦσιν, οὐδὲ κέκτηνται κακά.
16. Καὶ γὰρ πέφυκε τοῦτ' ἐν ἀνθρώπου φύσει·
Ἢν γὰρ δίκῃ θνήσκῃ τίς, οὐχ ἧσσον ποθεῖ,
Πᾶς τις δακρύειν τοὺς προσήκοντας φίλους.

PIRITHOUS.

1. Ἵνα πλημοχόας τάσδ' ἐς χθόνιον
Χάσμ' εὐφήμως προχέωμεν.
2. Σὲ τὸν αὐτοφυῆ, τὸν ἐν αἰθερίῳ
Ῥύμβῳ πάντων φύσιν ἐμπλέξανθ',
Ὃν περὶ μὲν φῶς, περὶ δ' ὀρφναία
Νὺξ αἰολόχρως, ἄκριτός τ' ἄστρων
Ὄχλος ἐνδελεχῶς ἀμφιχορεύει.
3. Ἀκάμας τε χρόνος περί γ' ἀενάῳ
Ῥεύματι πλήρης φοιτᾷ, τίκτων
Αὐτὸς ἑαυτόν· δίδυμοί τ' ἄρκτοι
Ταῖς ὠκυπλάνοις πτερύγων ῥιπαῖς
Τὸν Ἀτλάντειον τηροῦσι πόλον.
4. Κίδαις ἀχαλκεύτοισιν ἔζευκται πέδας.
5. Ἐμοὶ πατρὶς μὲν Ἄργος, ὄνομα δ'
Ἡρακλῆς,
Θεοῦ δὲ πάντων πατρὸς ἐξέφυν Διός·
Ἐμῇ γὰρ ἦλθε μητρὶ κεδνῇ πρὸς λέχος
Ζεὺς, ὡς λέλεκται τῆς ἀληθείας ὕπο,
Ἥκω δὲ δεῦρο πρὸς βίαν Εὐρυσθέως.
6. Ὁ πρῶτος εἰπὼν οὐκ ἀγυμνάστῳ φρενὶ
Ἔρριψεν, ὅστις τόνδ' ἐκαίνισεν λόγον,
Ὡς τοῖσιν εὖ φρονοῦσι συμμαχεῖ τύχη.
7. Τρόπος ἐστὶ χρηστὸς ἀσφαλέστερος νόμου.
Τὸν μὲν γὰρ οὐδεὶς ἂν διαστρέψαι ποτὲ
Ῥήτωρ δύναιτο, τὸν δ' ἄνω τε καὶ κάτω
Λόγῳ σπαράσσων πολλάκις λυμαίνεται.
8. Οὐκοῦν τὸ μὴ ζῆν κρεῖττον ἐστ' ἢ ζῆν
κακῶς.

PLISTHENES.

1. Δήμῳ δὲ μήτε πᾶν ἀναρτήσῃς κράτος,
Μήτ' αὖ κακώσῃς πλοῦτον ἔντιμον τιθεὶς,
Μηδ' ἄνδρα δήμῳ πιστὸν ἐκβάλῃς ποτέ,
Μηδ' αὖξε καιροῦ μεῖζον· οὐ γὰρ ἀσφαλές.
Μή σοι τύραννος λαμπρὸς ἐξ ἀστοῦ φανῇ.
Κώλυε δ' ἄνδρα παρὰ δίκην τιμώμενον·
Πόλει γὰρ εὐτυχοῦντες οἱ κακοὶ νόσος.
2. Πολλῶν τὰ χρήματ' αἴτι' ἀνθρώποις
κακῶν.
3. Μηλοσφαγεῖτε δαιμόνων ἐπ' ἐσχάραις.
4. Πολὺς δὲ κοσσάβων ἀραγμὸς
Κύπριδος προσῳδὸν
Ἀχεῖ μέλος ἐν δόμοις.
5. --- --- ἐγὼ δὲ Σαρδιανὸς, οὐ γὰρ οὐκέτ'
Ἀργόλας.
6. Ὦ πλοῦθ', ὅσῳ μὲν ῥᾷστον εἶ βάρος φέρειν·
Πόνοι δὲ χἀν σοι καὶ φθοραὶ πολλαὶ βίου
Ἔνεισ'· ὁ γὰρ πᾶς ἀσθενὴς αἰὼν βροτοῖς.

POLYIDUS.

1. Ἔα, ἔα,
Ὁρῶ γ' ἐν ἀκταῖς νομάδα κυμαλιφθόρον

Ἀλιαίετον· ἢ ϑαῖδα χερσεύει μόρος.
Εἰ μὲν γὰρ ἐκ γῆς εἰς θάλασσαν ἔπταἰο
Ὁ κύματ' οἰκῶν ὄρνις, ἡρμήνευσεν ἂν
Τὸν παῖδ' ἐν ὑγροῖς κύμασιν τεθνηκέναι·
Νῦν δ' ἐκλιπὼν ἤθη τε καὶ νομὸν βίου
Δεῦρ' ἔπταἰ' οὐκ ἦν ἴσθ' ὁ παῖς ἐν οἴδμασιν.
2. Τίς οἶδεν, εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν,
Τὸ κατθανεῖν δὲ ζῆν κάτω νομίζεται;
3. Οἱ τὰς τέχνας ἔχοντες ἀθλιώτεροι
Τῆς φαυλότητος· τοι γὰρ ἐν κοινῷ ψέγειν
Ἅπασι κεῖσθαι δυσυχὲς, οὐκ εὐτυχές.
4. Οὐ γὰρ παρὰ κρητῆρα καὶ θοίνην μόνον
Τὰ χρήματ' ἀνθρώποισιν ἡδονὰς ἔχει,
Ἀλλ' ἐν κακοῖσι δύναμιν οὐ μικρὰν φέρει.
5. Πλουτεῖς· τὰ δ' ἄλλα μὴ δοκεῖς ξυνιέναι.
Ἐν τῷ γὰρ ὄλβῳ φαυλότης ἐνεστί τις,
Πενία δὲ σοφίαν ἔλαχε διὰ τὸ δυσυχές.
6. --- --- ἀνθρώπων δὲ μαίνονται φρένες,
Δαπάνας ὅταν θανοῦσι πέμπωσιν κενάς.
7. Ὅστις νέμει κάλλιστα τὴν αὐτοῦ φύσιν,
Οὗτος σοφὸς πέφυκεν εἰς τὸ συμφέρον.
8. Μάτην γὰρ οἴκῳ σῷ τόδ' ἐκβαίη τέλος.
9. Μικρὸν γ' ἔλεξας βασιλικοῦ σηκὸν τάφου·
Διπλάσιος ἔστω· τοῦ κύβου δὲ μὴ σφαλῇς.
10. ------ --- --- Κρητικοὺς
Αὐλοὺς, θανούσης κῶλα ποικίλης νεβροῦ,
[Συνέθραψε]

PROTESILAUS.

1. Οὐ γὰρ θέμις βέβηλον ἅπτεσθαι δόμων.
2. Δυοῖν λεγόντοιν, θατέρου θυμουμένου,
Ὁ μὴ ἀντιτείνων τοῖς λόγοις σοφώτερος.
3. Ὅστις δὲ πάσας συντιθεὶς ψέγει λόγῳ
Γυναῖκας ἑξῆς, σκαιός ἐστι, κοὐ σοφός.
Πολλῶν γὰρ οὐσῶν τὴν μὲν εὑρήσεις κακὴν,
Τὴν δ', ὥσπερ αὕτη, λῆμ' ἔχουσαν εὐγενές.
4. Οὐ θαῦμ' ἔλεξας, θνητὸν ὄντα δυστυχεῖν.
5 Πέπονθεν, οἷα καὶ σὲ καὶ πάντας μένει.
6. Πόλλ' ἐλπίδες ψεύδουσι κἄλογοι βροτούς.
7. Οὐκ ἂν προδοίην καίπερ ἄψυχον φίλον.
8. --- --- --- ἀξίως δ' ἐμὸς
Γαμβρὸς κέκλησαι, παῖδά μοι ξυνοικίσας.
9. Κοινὸν γὰρ εἶν' ἄρα καὶ γυναικεῖον λέχος.
10. Ὦ παῖδες, οἷον φίλτρον ἀνθρώποις φρενός.

RHADAMANTHUS.

1. Οἳ γῆν ἔχουσ' Εὐβοίδα πρόσχωρον πόλιν.

2. Ἔρωτες ἡμῖν εἰσὶ παντοῖοι βίου.
Ὁ μὲν γὰρ εὐγένειαν ἱμείρει λαβεῖν·
Τῷ δ' οὐχὶ τούτου φροντὶς, ἀλλὰ χρημάτων
Πολλῶν κεκλῆσθαι βούλεται πατὴρ δόμοις.
Ἄλλῳ δ' ἀρέσκει μηδὲν ὑγιὲς ἐκ φρενῶν
Λέγοντι πείθειν τοὺς πέλας τόλμῃ κακῇ.
Οἱ δ' αἰσχρὰ κέρδη πρόσθε τοῦ καλοῦ βροτῶν
Ζητοῦσιν· οὕτω βίοτος ἀνθρώπων πλάνη.
Ἐγὼ δὲ τούτων οὐδενὸς χρῄζω τυχεῖν,
Δόξαν δ' ἐβουλόμην ἂν εὐκλείας ἔχειν.
3. Οὐδεὶς γὰρ ἡμᾶς [αὐτὸν] ἐξαιρήσεται.

SCIRON, Drama Satyricum.

1. Σχεδὸν χαμεύνη σύμμετρος Κορινθίας
Παιδὸς, κνεφάλλου δ' οὐχ ὑπερτείνεις πόδα.
2. --- --- --- ἢ προσπηγνύναι
Κράδαις ἐρίναις.
3. --- -- --- Οὐδὲ κωλῆνες νεκρῶν.
4. --- ------ Ἔστι τοι καλὸν
Κακοὺς κολάζειν.
5. Καὶ τὰς μὲν ἄξῃ, πῶλον ἂν διδῷς ἕνα,
Τὰς δὲ, ξυνωρίδ'· αἱ δὲ κἀπὶ τεσσάρων
Φοιτῶσιν ἵππων ἀργυρῶν· φιλοῦσι δὲ
Τὰς ἐξ Ἀθηνῶν παρθένους ὅταν φέρῃ
Πολλάς.

SCYRIAE.

1. Ἡ παῖς νοσεῖ σου, κἀπικινδύνως ἔχει.
Πρὸς τοῦ; τίς αὐτὴν πημονὴ δαμάζεται;
Μῶν κρυμὸς αὐτῆς πλευρὰ γυμνάζει χολῆς;
2. Φεῦ τῶν βροτείων ὡς ἀνώμαλοι τύχαι.
Οἱ μὲν γὰρ εὖ πράσσουσι, τοῖς δὲ συμφοραὶ
Σκληραὶ πάρεισιν εὐσεβοῦσιν εἰς θεούς,
Καὶ πάντ' ἀκριβῶς κἀπὶ φροντίδων βίον,
Οὐ τῷ δικαίῳ, ζῶσιν αἰσχύνης ἄτερ.
3. Σοφοὶ δὲ συγκρύπτουσιν οἰκείας βλάβας.

SISYPHUS.

1. Ἦν χρόνος, ὅτ' ἦν ἄτακτος ἀνθρώπων βίος
Καὶ θηριώδης, ἰσχύος θ' ὑπηρέτης,
Ὅτ' οὐδὲν ἆθλον οὔτε τοῖς ἐσθλοῖσιν ἦν,
Οὔτ' αὖ κόλασμα τοῖς κακοῖς ἐγίνετο.
Κἄπειτά μοι δοκοῦσιν ἄνθρωποι νόμους
Θέσθαι κολαστάς, ἵνα δίκη τύραννος ᾖ
Γένους βροτείου, τὴν θ' ὕβριν δούλην ἔχῃ.
Ἐζημιοῦτο δ', εἴ τις ἐξαμαρτάνοι.
Ἔπειτ', ἐπειδὴ τἀμφανῆ μὲν οἱ νόμοι

Ἀπεῖργον αὐτοὺς ἔργα μὴ πράσσειν βίᾳ,
Λάθρα δ' ἔπρασσον, τηνικαῦτά μοι δοκεῖ
Φῦναι πυκνός τις ϗ σοφὸς γνώμην ἀνὴρ,
Γνῶναι δ' ἔπος θνητοῖσιν ἐξευρὼν, ὅπως
Εἴη τι δεῖμα τοῖς κακοῖσι, κἂν λάθρα
Πράσσωσιν, ἢ λέγωσιν, ἢ φρονῶσί τι.
Ἐντεῦθεν οὖν τὸ θεῖον εἰσηγήσατο,
Ὡς ἔστι δαίμων ἀφθίτῳ θάλλων βίῳ,
Νόῳ τ' ἀκούων ϗ βλέπων φρονῶν τ' ἀεὶ,
Προσέχων τε ταῦτα, ϗ φύσιν θείαν φορῶν,
Πᾶν μὲν τὸ λεχθὲν ἐν βροτοῖς ἀκούσεται,
Ἐς δρώμενον ἢ πᾶν ἰδεῖν δυνήσεται.
Ἐὰν δὲ σὺν σιγῇ τι βουλεύῃς κακὸν,
Τοῦτ' οὐχὶ λήσει τοὺς θεούς. τὸ γὰρ φρονοῦν
Ἔν ἐστι [θείων·] τούσδε τοὺς λόγους λέγων
Διδαγμάτων ἥδιστον εἰσηγήσατο,
Ψευδεῖ καλύψας τὴν ἀλήθειαν λόγῳ.
Ναίειν δ' ἔφασκε τοὺς θεοὺς ἐνταῦθ', ἵνα
Μάλιστά γ' ἐκπλήξειεν ἀνθρώπους, ἄγων
(Ὅθεν περ ἔγνω τοὺς φόβους εἶναι βροτοῖς
Καὶ τὰς ὀνήσεις τῷ ταλαιπώρῳ βίῳ)
Ἐκ τῆς ὕπερθε περιφορᾶς, ἵν' ἀστραπὰς
Κατεῖδ' ἐναύσεις, δεινὰ δ' αὖ κτυπήματα
Βροντῆς, τό τ' ἀστερωπὸν οὐρανοῦ δέμας,
Χρόνου καλὸν ποίκιλμα, τέκτονος σοφοῦ.
Ὅθεν τε λαμπρὸς ἀστέρας στείχει μύδρος,
Ὅ θ' ὑγρὸς εἰς γῆν ὄμβρος ἐκπορίζεται.
Τοιούσδε περιέστησεν ἀνθρώποις φόβους
Στοίχους, καλῶς τε τῷ λόγῳ κατῴκισε
Τὸν δαίμον' ὄγκων, ἐν πρέποντι χωρίῳ.
2 Οὕτω δὲ πρῶτον οἴομαι πεῖσαι τινὰ
Θνητοὺς νομίζειν δαιμόνων εἶναι γένος.
3. Χαίρω σέ τ', ὦ βέλτιστέ γ' Ἀλκμήνης τέκος,
Ἐλθόντα, τόν τε μιαρὸν ἐξολωλότα.
4. Ἑλίσσων,

STHENOBOEA.

1. Οὐκ ἔστιν ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ·
Ἢ γὰρ πεφυκὼς ἐσθλὸς οὐκ ἔχει βίον,
Ἢ δυσγενὴς ὢν πλουσίαν ἀροῖ πλάκα.
2. Τοιαῦτ' ἀλύει· νουθετούμενος δ' ἔρως
Μᾶλλον πιέζει.
3. — — βίος δὲ πορθμευοῦς θαλάσσιος
Οὐκ εὐτράπεζος, ἀλλ' ἐπάκτιοι φάτναι.
Ὑγρὰ δὲ μήτηρ, οὐ πεδοστιβὴς τροφὸς
Θάλασσα, τήνδ' ἀροῦμεν· ἐκ ταύτης βίος
Βρόχοισι ϗ πέδαισιν οἴκαδ' ἔρχεται.
4. Πεσὸν δέ νιν λέληθεν οὐδὲν ἐκ χερός.
Ἀλλ' εὐθὺς αὐδᾷ, ΤΩΙ ΚΟΡΙΝΘΙΩΙ ΞΕΝΩΙ.
5. Ἄνευ τύχης γὰρ, ὥσπερ ἡ παροιμία,
Πόνος μονωθεὶς οὐκ ἐτ' ἀλδύνει βροτούς.
6. Κομίζετ'· εἴσω τήνδε· πιστεύειν ἢ χρὴ
Γυναικὶ μηδὲν, ὅστις εὖ φρονεῖ βροτῶν.
7. Πολλοὺς ἢ πλούτῳ ϗ γένει γαυρουμένους
Γυνὴ κατῄσχυν' ἐν δόμοισι νηπία.
8. — — — Μουσικὸν δ' ἄρα
Ἔρως διδάσκει, κἂν ἄμουσος ᾖ τὸ πρίν.
9. Τίς ἄνδρα τινὰ ξεναπάταν.

SYLEUS.

1. Τοῖς μὲν δικαίοις, ἔνδικος· τοῖς δ' αὖ κακοῖς,
Πάντων μέγιστος πολέμιος κατὰ χθόνα.
2. Πρὸς ταῦτ' ἴτω μὲν πῦρ, ἴτω ϛ φάσγανα·
Πίμπρα· κάταιθε σάρκας, ἐμπλήσθητί μου
Πίνων κελαινὸν αἷμα· πρόσθε γὰρ κάτω
Γῆς εἶσιν ἄστρα, γῆ δ' ἄνεισ' εἰς αἰθέρα,
Πρὶν ἐξ ἐμοῦ σοι θῶπ' ἀπαντῆσαι λόγον.
3. Ἥκιστα φαῦλος, ἀλλὰ πᾶν τοὐναντίον·
Πρόσχημα σεμνὸς, κοὐ ταπεινὸς, οὐδ' ἄγαν
Εὔογκος, ὡς ἂν δοῦλος, ἀλλὰ ϗ στολὴν
Ἰδόντι λαμπρὸς ϗ ξύλῳ δραστήριος.
4. Οὐδεὶς δ' ἐς οἴκους δεσπότας ἀμείνονας
Αὑτοῦ πρίασθαι βούλεται· σὲ δ' εἰσορῶν
Πᾶς τις δέδοικεν. ὄμμα γὰρ πυρὸς γέμεις,
Ταῦρος λέοντος ὡς βλέπων πρὸς ἐμβολήν.
Τό τ' ἦθος αὐτοῦ . . . . οὐ κατηγορεῖ
Σιγῶντος, ὡς εἴης ἂν οὐχ ὑπήκοος,
Τάσσειν ἢ μᾶλλον, ἢ 'πιτάσσεσθαι, θέλοις.
5. Κλίθητι ϗ πίωμεν· ἐν τούτῳ δέ μου
Τὴν πεῖραν εὐθὺ λάμβαν', εἰ κρείττων ἔσῃ.
6. Βαυβῶμεν εἰσελθόντες· ἀπομόρξαι σέθεν
Τὰ δάκρυα ——
7. — — — Εἶα δὴ, φίλον ξύλον,
Ἔκτεινέ μοι σεαυτὸ ϗ γίνου θρασύ.

TELEPHUS.

1. Ὦ γαῖα πατρὶς, ἣν Πέλοψ ὁρίζεται,
Χαῖρ', ὅς τε πέτρον Ἀρκάδων δυσχείμερον
[Πὰν] ἐμβατεύεις· ἔνθεν εὔχομαι γένος.
Αὔγη γὰρ, Ἀλέου παῖς, με τῷ Τιρυνθίῳ
Τίκτει λαθραίως Ἡρακλεῖ ξύνοιδ' ὄρος
Παρθένιον, ἔνθα μητέρ' ὠδίνων ἐμὴν
Ἔλυσεν, Εἰλείθυια
2. Κώπης ἀνάσσει, κἀποβὰς εἰς Μυσίαν
Ἐτραυματίσθη πολεμίῳ βραχίονι.
3. Ἴθ' ὅποι χρήζεις· οὐκ ἀπολοῦμαι

Τῆς Ἑλένης ὕνεκα.
4. Βέβληκ' Ἀχιλλεὺς δύο κύβω ϗ τέτταρα.
5. Ὦ πόλις Ἄργυς.
6. Ὦ Φοῖβ' Ἄπολλον Λύκιε, τί ποτέ μ' ἐργάσει;
7. Κακῶς ὄλοιτ' ἄν· ἄξιον γὰρ Ἑλλάδι.
8. Δεῖ γάρ με δόξαι πτωχὸν εἶναι τήμερον,
Εἶναι μὲν, ὅσπερ εἰμὶ, φαίνεσθαι δὲ μή.
9. Καλῶς ἔχοιμι· Τηλέφῳ δ' ἃ 'γὼ φρονῶ.
10. Τί δ', ὦ τάλας, σὺ τῷδε πείθεσθαι μέλλεις;
11. Μή μοι φθονήσητ', ἄνδρες Ἑλλήνων ἄκροι,
Εἰ πτωχὸς ὢν τέτληκ' ἐν ἐσθλοῖσιν λέγειν.
12. Ἐρεῖ τις· ὐ χρῆν. Ἀλλὰ τί χρῆν, εἴπατε.
13. Ἦ πολλῦ γε δεῖ.
14. — —— τὸν δὲ Τήλεφον
Οὐκ οἰόμεσθα; νῦς ἄρ' ὑμῖν ὐκ ἔνι.
15. Ἄνασσα πράγυς τῦδε ϗ βυλεύματος.
Τί μοι σκυθρωπὸς ἐξελήλυθας δόμων;
16. Ἀγάμεμνον, ὐδ', εἰ πέλεκυν ἐν χεροῖν ἔχων
Μέλλοι τὶς εἰς τράχηλον ἐμβαλεῖν ἐμὸν,
Σιγήσομαι δίκαιά γ' ἀντειπεῖν ἔχων.
17. Ὥρα σε θυμῦ κρείσσονα γνώμην ἔχειν.
18. Μοχθεῖν ἀνάγκη τὺς θέλοντας εὐτυχεῖν.
19. Οὐκ ἄρ' Ὀδυσσεύς ἐστιν αἱμύλος μόνος·
Χρεία διδάσκει, κἂν βραδύς τις ᾖ, σοφόν.
20. Σπάρτην ἔλαχες· κείνην κόσμει·
Τὰς δὲ Μυκήνας ἡμεῖς ἰδίᾳ.
21. Τόλμ' αἰεί, κἄν τι τρηχὺ νέμωσι θεοί.
22. Τί γάρ με πλῦτος ὠφελεῖ νοσῦντά γε;
Σμικρ' ἂν θέλοιμι ϗ καθ' ἡμέραν ἔχων
Ἄλυπον οἰκεῖν βίοτον, ἢ πλυτῶν νοσεῖν.
23. Ἕλληνες ὄντες βαρβάροις δυλεύσομεν;
24. Κακός τις ἐστὶ προξένῳ σοι χρώμενος;
25. Πρισοῖσι λόγχης θέλγεται ῥινήμασιν.

T E M E N I D A E.

1. Ἀρετὴ δὲ, κἂν θάνῃ τις, ὐκ ἀπόλλυται,
Ζῇ δ', ὐκ ἔτ' ὄντος σώματος· κακοῖσι δὲ
Ἅπαντα φρῦδα συνθανόνθ' ὑπὸ χθονός.
2. Καλόν γ' ἀληθὴς κἀτενὴς παῤῥησία.
3. Τῷ γὰρ πονῦντι ϗ θεὸς συλλαμβάνει.
4. Αἰδὼς γὰρ ὀργῆς πλεῖον ὠφελεῖ βροτύς.
5. Εἰκὸς δὲ παντὶ ϗ λόγῳ ϗ μηχανῇ
Πατρίδος ἐρῶντας ἐκπονεῖν σωτηρίαν.
6. — — φιλεῖ τοι πόλεμος ὐ πάντ' εὐτυχεῖν·

Ἐσθλῶν δὲ χαίρει πτώμασιν νεανιῶν.
Κακὺς δὲ μισεῖ· τῇ πόλει μὲν ὖν νόσος
Τὸ δ' ἐστὶ· τοῖς δὲ κατθανῦσιν εὐκλεές.
7. Οὐκ ἔστι κρεῖττον ἄλλο, πλὴν κρατεῖν δορί.
8. Τολμᾶν δὲ χρεών· ὁ γὰρ ἐν καιρῷ
Μόχθος πολλὴν εὐδαιμονίαν
Τίκτει θνητοῖσι τελευτῶν.
9. Τὸ δὲ στρατηγεῖν τῦτ' ἐγὼ κρίνω, καλῶς
Γνῶναι τὸν ἐχθρὸν, ᾗ μάλισθ' ἁλώσιμος.
10. Ἄρξας ἄρ' ὕτω· χρὴ δὲ τὸν στρατηλάτην
Ὅμως δίκαιον ὄντα, ποιμαίνειν στρατόν.
11. Ῥώμη δέ τ' ἀμαθὴς πολλάκις τίκτει βλάβην.
12. Ἄλλη πρὸς ἄλλο γαῖα χρησιμωτέρα.
13. Φεῦ, φεῦ, τὸ φῦναι πατρὸς εὐγενῦς ἄπο
Ὅσην ἔχει φρόνησιν, ἀξίωμά τε;
Κἂν γὰρ πένης ὢν τυγχάνῃ χρηστὸς γεγὼς
Τιμὴν ἔχει τιν'· ἀναμετρύμενος δέ πως
Τὸ τῦ πατρὸς γενναῖον ὠφελεῖ τρόπῳ.
14. Πολλοὶ γεγῶτες ἄνδρες ὐκ ἔχουσ', ὅπως
Δείξωσιν αὐτὺς τῶν κακῶν ἐξυσίᾳ.
15. Τοῖς πᾶσιν ἀνθρώποισι κατθανεῖν μένει.
Κοινὸν δ' ἔχοντες αὐτὸ, κοινὰ πάσχομεν
Πάντες· τὸ γὰρ χρεὼν μεῖζον, ἢ τὸ μὴ χρεών.
16. Ἀσύνετος, ὅστις ἐν φόβῳ μὲν ἀσθενὴς,
Λαβὼν δὲ μικρὸν τῆς τύχης φρονεῖ μέγα.
17. Ἅπασα Πελοπόννησος εὐτυχεῖ πόλις.
18. Ἦλθε δ' ἐπὶ χρυσόκερων ἔλαφον· μεγάλων ἄθλων
Ἵνα δεινὸν ὑποστὰς κατ' ἐναύλους ὀρέων ἀβάτους, ἐπί τε
Λειμῶνας ποιμένιά τ' ἄλση.
19. Ἄπυργος.
20. Αἰσίως
21. Ἀνανοικήνι
22. Καταβολή.

T E N N E S.

1. Φεῦ,
Οὐδὲν δίκαιόν ἐστιν ἐν τῷ νῦν γένει.

T H E S E U S.

1. Κάρα τε γάρ σου συγχέω κόμαις ὁμῦ·
Ῥανεῖ τε δ' ἐγκέφαλον· ὀμμάτων δ' ἄπο
Αἱμοσταγεῖς πρηστῆρες ῥεύσονται κάτω.
2. Πράγματα βόσκων.

3. Ἀνόνητον ἄγαλμα, πάτερ,
Οἴκοισι τεκών.
4. Ἐγὼ δὲ τοῦτο παρὰ σοφοῦ τινὸς μαθὼν
Εἰς φροντίδας νοῦν συμφοράς τ' ἐβαλλόμην.
Φυγάς τ' ἐμαυτῷ προστιθεὶς πάτρας ἐμῆς,
Θανάτους τ' ἀώρους, καὶ κακῶν ἄλλας ὁδούς,
Ὡς, εἴ τι πάσχοιμ', ὧν ἐδόξαζόν ποτε,
Μή μοι νέορτον προσπεσὸν μᾶλλον δάκοι.
5. Ἐγὼ πέφυκα γραμμάτων μὲν οὐκ ἴδρις,
Μορφὰς δὲ λέξω καὶ σαφῆ τεκμήρια·
Κύκλος τις ὡς τόρνοισιν ἐκμετρούμενος,
Οὗτος δ' ἔχει σημεῖον ἐν μέσῳ σαφές.
Τὸ δεύτερον δὲ, πρῶτα μὲν γραμμαὶ δύο,
Ταύτας διείργει δ' ἐν μέσαις ἄλλη μία.
Τρίτον δὲ βόστρυχός τις ὡς εἱλιγμένος.
Τὸ δ' αὖ τέταρτον ἦν μὲν εἰς ὀρθὸν μία,
Λοξαὶ δ' ἐπ' αὐτῆς τρεῖς κατεστηριγμέναι
Εἰσίν· τὸ πέμπτον δ' οὐκ ἐν εὐμαρεῖ φρά-
σαι·
Γραμμαὶ γὰρ εἰσὶν ἐκ διεστώτων δύο,
Αὗται δὲ συντρέχουσιν εἰς μίαν βάσιν·
Τὸ λοίσθιον δὲ τῷ τρίτῳ προσεμφερές.
6. Σχεδὸν παρ' αὐτοῖς κρασπέδοις Εὐ-
ρωπίας.
7. Σύμμικτον εἶδος, κἀποφώλιον τέρας
Ταύρου μέμικται καὶ βροτοῦ διπλῇ φύσει.
8. Κρεῖσσον δὲ πλούτου καὶ πολυχρύσου χλιδῆς
Ἀνδρῶν δικαίων κἀγαθῶν παρουσίαι.
9. Ἀνὴρ γὰρ ὅστις χρημάτων μὲν ἐνδεὴς,
Δράσαι δὲ χειρὶ δυνατὸς, οὐκ ἀνέξεται,
Τὰ τῶν δ' ἐχόντων χρήμαθ' ἁρπάζειν φι-
λεῖ.

THYESTES.

1. Πλούτου δ' ἀπορρυέντος, ἀσθενεῖς γάμοι·
Τὴν μὲν γὰρ εὐγένειαν αἰνοῦσιν βροτοὶ,
Μᾶλλον δὲ κηδεύουσι τοῖς εὐδαίμοσιν.
2. --- --- - - εἰ δ' ἄτερ πόνων
Δοκεῖς ἔσεσθαι, μωρὸς εἶ. θνητὸς γεγώς.
3. Ἀλλ' εἴπερ ἐστὶν ἐν βροτοῖς ψευδηγορεῖν
Πιθανὸν, νομίζειν χρή γε καὶ τοὐναντίον,
Ἄπιστ' ἀληθῆ πολλὰ συμβαίνειν βροτοῖς.

XANTRIAE.

Νύμφαισιν ὀρεσσιγόνοισι θεαῖς,
Ἰν' ἀγείρω γ' Ἰνάχου, Ἀργείου
Ποταμοῦ παισὶν βιοδώροις.

FALSO citata.

1. Τὸ μὲν σφαγῆναι δεινὸν, εὔκλειαν δ' ἔχει.
Τὸ μὴ θανεῖν δ' οὐ δεινὸν, ἡδονὴ δ' ἔνι.
2. Ἡ γὰρ τυραννὶς πάντοθεν τοξεύεται
Δεινοῖς ἔρωσιν, ἧς φυλακτέον πέρι.
3. --- --- τὸ θρέψαι δ' ἐν βροτοῖσι πολ-
λάκις
Πλείω πορίζει φίλτρα τοῦ φῦσαι τέκνα.
4. Ὅστις δὲ τοὺς τεκόντας ἐν βίῳ σέβει,
Ὁ δ' ἐστὶ καὶ ζῶν καὶ θανὼν θεοῖς φίλος.
5. Ἆρ' οἶσθ', ὅθ' οὕνεχ' οἱ μὲν εὐγενεῖς βροτῶν
Πένητες ὄντες οὐδὲν ἐμφαίνουσ' ἔτι,
Οἱ δ' οὐδὲν ἦσαν πρόσθεν, ὄλβιοι δὲ νῦν,
Δόξαν φέρονται τοῦ νομίσματος χάριν
Καὶ συμπλέκοντες σπέρμα, καὶ γάμους τέκ-
νων.
Δοῦναι δὲ μᾶλλον πλουσίῳ πᾶς τις κακῷ
Πρόθυμός ἐστιν, ἢ πένητι κἀγαθῷ.
Κακὸς δ' ὁ μὴ ἔχων, οἱ δ' ἔχοντες ὄλβιοι.

EX INCERTIS TRAGOEDIIS.

1. Ὁρᾷς τὸν ὑψοῦ τόνδ' ἄπειρον αἰθέρα
Καὶ γῆν πέριξ ἔχονθ' ὑγραῖς ἐν ἀγκά-
λαις,
Τοῦτον νόμιζε Ζῆνα, τόνδ' ἡγοῦ θεόν.
2. Οὔτοι προσελθοῦσ' ἡ δίκη σε, μὴ τρέσῃς,
Παίσει πρὸς ἧπαρ, οὐδὲ τῶν ἄλλων βροτῶν
Τὸν ἄδικον, ἀλλὰ σῖγα καὶ βραδεῖ ποδὶ
Στείχουσα, μάρψει τοὺς κακοὺς, ὅταν
τύχῃ.
3. Συγγνώμονάς τοι τοὺς θεοὺς εἶναι δοκεῖ,
Ὅταν τις ὅρκῳ θάνατον ἐκφυγεῖν θέλῃ,
Ἢ δεσμὸν, ἢ βίαια πολεμίων κακὰ,
Ἢ παισὶν αὐθένταισι κοινωνῇ δόμων·
Ἦτ' ἄρα θνητῶν εἰσὶν ἀσυνετώτεροι,
Ἢ τἀπιεικῆ πρόσθεν ἡγοῦνται δίκης.
4. Οὐκ ἔστιν ἀρετῆς κτῆμα τιμιώτερον.
Οὐ γὰρ πέφυκε δοῦλον, οὔτε χρημάτων,
Οὔτ' ἀσφαλείας, οὔτε θωπείας ὄχλου.
Ἀρετὴ δ', ὅσῳπερ μᾶλλον ἂν χρῆσθαι θέ-
λῃς,
Τοσῷδε μᾶλλον αὔξεται τελουμένη.
5. Ἀρετὴ μέγιστον τῶν ἐν ἀνθρώποις καλόν.
6. Τὸ μὴ εἰδέναι σε μηδὲν, ὧν ἁμαρτάνεις,
Ἔκκαυμα τόλμης ἱκανόν ἐστι καὶ θράσους.
7. --- --- --- ἡ δὲ μωρία
Μάλιστ' ἀδελφὴ τῆς πονηρίας ἔφυ.
8. Τὸ δ' ὠκὺ τοῦτο καὶ τὸ λαιψηρὸν φρενῶν
Εἰς συμφορὰν ἔστησι πολλοὺς δὴ βροτούς.
9. Βουλῆς γὰρ οὐδέν ἐστιν ἔχθιον κακῆς.
10. Εἴ μοι τὸ Νεστόρειον εὔγλωσσον μέλι
Ἀντήνορός τε τοῦ Φρυγὸς δοίη θεὸς,
11. Οὐκ ἂν δυναίμην μὴ στέγοντα πιμ-
πλάναι
Σοφοὺς ἐπαντλῶν ἀνδρὶ μὴ σοφῷ λόγους.

12. Εὖ γὰρ τόδ' ἴσθι, κἂν εἴ σ' ἐλάνθανεν πάρος,
Τὸ σκαιὸν εἶναι πρῶτ' ἀμυσίας ἔχει.
13. Ἐγὼ δ' ὐδὲν πρεσβύτερον
Νομίζω τᾶς σωφροσύνας,
Ἐπεὶ τοῖς ἀγαθοῖς ἀεὶ ξύνεςι.
14. Ἐπεὶ τι δεῖ βροτοῖσι, πλὴν δυοῖν μόνοιν,
Δήμητρος ἀκτῆς, πώματός θ' ὑδρηχόυ,
Ἅπερ πάρεςι ϗ πέφυχ' ἡμᾶς τρέφειν;
Ὧν ὐκ ἀπαρκεῖ πλησμονή· τρυφῇ γέ τοι
Ἄλλων ἐδεςῶν μηχανὰς θηρεύομεν.
15. Τὶ δ' αἰσχρὸν, ἢν μὴ τοῖσι χρωμένοις δοκῇ;
16. Ὁ φόβος, ὅταν τις σώματος μέλλει πέρι
Λέγειν, καταςὰς εἰς ἀγῶν' ἐναντίον,
Τό τε ςόμ' εἰς ἔκπληξιν ἀνθρώπων ἄγει,
Τὸν νῦν τ' ἀπείργει μὴ λέγειν ἃ βύλεται.
Τῷ μὲν γὰρ ἔνι κίνδυνος, ὁ δ' ἀθῷος μένει·
Ὅμως δ' ἀγῶνα τόνδε δεῖ μ' ὑπεκδραμεῖν,
Ψυχὴν γὰρ ἆθλα τιθεμένην ἐμὴν ὁρῶ.
17. Φεῦ, φεῦ, τὸ νικᾷν τἄνδιχ' ὡς καλὸν γέρας,
Τὰ μὴ δίκαια δ' ὡς ἁπανταχῦ κακόν.
Καὶ γλῶσσα φλαύρα, ϗ φθόνος τῦ μὴ φθονεῖν
Ὅσῳ κάκιον μὴ καλῶς ὠγκωμένοις.
18. Δύςηνος, ὅςις ϗ τὰ καλὰ ψευδῆ λέγων
Οὐ τοῖσδε χρῆται τοῖς καλοῖς ἀληθέσιν.
19. Θάρσει· λέγων τἀληθὲς ὐ σφαλῇ ποτέ.
20. Πότερα θέλεις σοι μαλθακὰ ψευδῆ λέγω,
Ἢ σκλῆρ' ἀληθῆ, φράζε· σὴ γὰρ ἡ κρίσις.
21. Ἐμοὶ γένοιτο πτωχὸς, εἰ δὲ βύλεται,
Πτωχῦ κακίων, ὅςις ὢν εὔνυς ἐμοὶ
Φόβον παρελθὼν, τἀπὸ καρδίας ἐρεῖ.
22. Ἀτὰρ σιωπᾷν τά γε δίκαι' ὐ χρή ποτε.
23. Οὐδεὶς μετ' ὀργῆς ὐδὲν εὐβυλεύεται.
Πολλὺς δ' ὁ θυμὸς ὁ μέγας ὤλεσιν βροτῶν
Ἥ τ' ἀξυνεσία· δύο κακὼ τοῖς χρωμένοις.
24. Τῷ γὰρ βιαίῳ κἀγρίῳ τὸ μαλθακὸν
Εἰς ταυτὸν ἐλθὸν τῦ λίαν παρείλετο.
25. Ὁ θυμὸς ἀλγῶν ἀσφάλειαν ὐκ ἔχει.
26. Ὅταν ἴδῃς πρὸς ὕψος ἠρμένον τινὰ,
Λαμπρῶς τε πλύτῳ ϗ γένει γαυρύμενον,
Ὀφρῦν τε μείζω τῆς τύχης ἐπηρκότα,
Τύτυ ταχεῖαν νέμεσιν εὐθὺς προσδόκα,
Ἐπαίρεται γὰρ μεῖζον, ἵνα μεῖζον πέσῃ.
27. Κρίνει τίς αὐτὸν πώποτ' ἀνθρώπων μέγαν,
Ὃν ἐξαλείφει πρόφασις ἡ τυχῦσ' ὅλον;
28. Ποῖ; πῶς δὲ λήσῃ; τίς δὲ νῷν πιστὸς φίλος;
Ζητῶμεν· ἡ δόκησις ἀνθρώποις κακὸν,
Καὶ τὐπιχειρεῖν ἐξαμαρτάνειν φιλεῖ.
29 Βροτοῖς τὰ μείζω τῶν μέσων τίκτει νόσυς,
Θεῶν δὲ θνητὺς κόσμον ὐ πρέπει φέρειν.
30. Σὺ δ' εἶκ' ἀνάγκῃ, ϗ θεοῖσι μὴ μάχυ·
Τόλμα δὲ προσβλέπειν με, ϗ φρονήματος
Χάλα· τά τοι μέγιςα πολλάκις Θεὸς
Ταπείν' ἔθηκε, ϗ συνέςειλεν πάλιν.
31. Δεινὸν δ', ὅταν τις μὴ φρονῶν δοκεῖ φρονεῖν.
32 Ὁ βύλεται γὰρ μόνον ὁρῶν ϗ προσδοκῶν,
Ἀλόγιςός ἐςι τῆς ἀληθείας κριτής.
33. Ἅπαντες ἐσμὲν εἰς τὸ νυθετεῖν σοφοὶ,
Αὐτοὶ δ' ὅταν σφάλωμεν, ὐ γινώσκομεν.
34. Σὺν μυρίοις τὰ καλὰ γίγνεται πόνοις.
35. Ἀνὴρ γὰρ ὅςις εὖ βίον κεκτημένος.
Τὰ μὲν κατ' οἴκυς ἀμελίᾳ παρεὶς ἐᾷ,
Μολπαῖσι δ' ἡσθεὶς τῦτ' ἀεὶ θηρεύσεται
Ἀργὸς μὲν οἴκοις ϗ πόλει γενήσεται,
Φίλοισι δ' ὐδείς· ἡ φύσις γὰρ οἴχεται
Ὅταν γλυκείας ἡδονῆς ἥσσων τις ᾖ.
36. Ἢ λέγε τι σιγῆς κρεῖττον, ἢ σιγὴν ἔχε.
37. Ἅπας μὲν ἀὴρ αἰετῷ περάσιμος,
Ἅπασα δὲ χθὼν ἀνδρὶ γενναίῳ πατρίς.
38. Δεινὴ πόλις νοσῦσ' ἀνευρίσκειν κακά.
39. Οὐκ ἔςιν ὐδὲν τῶν ἐν ἀνθρώποις ἴσον.
Χρὴ γὰρ τύχας τὰς μάτην πλανωμένας
Μηδὲν δύνασθαι, τἀμφανῆ δ' ὑψηλ' ἄγειν.
Ὅςις κατ' ἰσχὺν πρῶτος ὠνομάζετο
Ἢ τόξα πάλλων, ἢ μάχῃ δορὸς σθενων,
Τῦτον τυραννεῖν τῶν κακιόνων ἐχρῆν.
40. Ἀλλ' ὔποτ' αὐτὸς ἀμπλακὼν ἄλλον βροτὸν
Παραινέσαιμ' ἂν παισὶ προσθεῖναι κράτη,
Πρὶν ἂν κατ' ὄσσων τυγχάνῃ μέλας σκοτος·
Ἢ χρὴ διελθεῖν πρὸς τέκνων νικώμενον.
41. --- -.- --- Ἄρχεσθαι χρεὼν
Κακὺς ὑπ' ἐσθλῶν ϗ κλύειν τῶν κρεισσόνων.
42. Ἐγὼ γὰρ ὅςις μὴ δίκαιος ὢν ἀνὴρ
Βωμὸν προσίζει, τὸν νόμον χαίρειν ἐῶν
Πρὸς τὴν δίκην ἄγοιμ' ἂν, ὐ τρέσας θεὺς
Κακὸν γὰρ ἄνδρα χρὴ κακῶς πάσχειν ἀεί.
43. Ἀλλ' ὐ πρέπει τύραννον, ὡς ἐγὼ φρονῶ,
Οὐδ' ἄνδρα χρηςὸν νεῖκος αἱρεσθαι κακοῖς·
Τιμὴ γὰρ αὕτη τοῖσιν ἀσθενεςέροις
44. Σοφοὶ τύραννοι τῶν σοφῶν συνυσίᾳ.
45. Ἡ γὰρ τυραννὶς ἀδικίας μήτηρ ἔφυ.
46. Σὺν τοῖσι δεινοῖς αὔξεται κλέος βροτοῖς.

47. Ὁ τῶν γεωργῶν ἡδονὴν ἔχει βίος
Ταῖς ἐλπίσιν τἀλγεινὰ παραμυθούμενος.

48. Οἰκοφθόρον γὰρ ἄνδρα κωλύει γυνὴ
Ἐσθλὴ παραζευχθεῖσα καὶ σώσει δόμους.

49. Οὐ πάντες οὔτε δυστυχοῦσιν ἐν γάμοις,
Οὔτ' εὐτυχοῦσιν· συμφορὰ δ', ὃς ἂν τύχῃ
Κακῆς γυναικὸς, εὐτυχεῖ δ' ἐσθλῆς τυ-
χών.

50. Μακάριος, ὅστις εὐτυχεῖ γάμον λαβὼν
Ἐσθλῆς γυναικὸς, εὐτυχεῖ δ' ὁ μὴ λαβών.

51. Νεανίας γὰρ ὅστις ὢν Ἄρη στυγεῖ,
Κόμη μόνον καὶ σάρκες, ἔργα δ' οὐδαμοῦ.
Ὁρᾷς τὸν εὐτράπεζον, ὡς ἡδὺς βίος,
Ὅ τ' ὄλβος ἔξωθεν τίς ἐστι πραγμάτων.
Ἀλλ' οὐκ ἔνεστι στέφανος, οὐδ' εὐανδρία,
Εἰ μή τι καὶ τολμῶσι κινδύνου μέτα·
Οἱ γὰρ πόνοι τίκτουσι τὴν εὐανδρίαν,
Ἡ δ' εὐλάβεια σκότον ἔχει καθ' Ἑλλάδα,
Τὸ διαβιῶναι μόνον ἀεὶ θηρωμένη.

52. Α. Ἐγὼ παρέξω λέκτρα σοι καλῶς
ἔχειν.
Β. Δίκαιόν ἐστιν, οἷσι συγγηράσομαι.

53 Δειναὶ μὲν ὁρμαὶ κυμάτων θαλασσίων,
Δειναὶ δὲ ποταμῶν, καὶ πυρὸς θερμαὶ πνοαί,
Δεινὸν δὲ πενία, δεινὰ δ' ἄλλα μυρία.
Ἀλλ' οὐδὲν οὕτω δεινὸν, ὡς γυνὴ, κακόν.
Οὐδ' ἂν γένοιτο γράμμα τοιοῦτ' ἐν γραφῇ,
Οὐδ' ἂν λόγος δείξειεν. εἰ δέ του θεῶν
Τόδ' ἐστὶ πλάσμα, δημιουργὸς ὢν κακῶν
Μέγιστος ἴστω καὶ βροτοῖσι δυσμενής.

54. Μισῶ γυναῖκας, ἐκ δὲ πασῶν σε πλέον,
Ἥτις πονηρὰ τἄργ' ἔχουσα [γ'] εὖ λέγεις.

55. Μοχθοῦμεν ἄλλως θηλυφρουροῦντες γένος·
Ἥτις γὰρ αὐτὴ μὴ πέφυκεν ἔνδικος,
Τί δεῖ φυλάσσειν κἀξαμαρτάνειν πλέον;

56. Γυναικὶ δ' ὄλβος, ἂν πόσιν στέργοντ'
ἔχῃ.

57. Ἔστιν δὲ μήτηρ φιλότεκνος μᾶλλον
πατρός,
Ἡ μὲν γὰρ αὑτῆς οἶδεν ὄνθ', ὁ δ' οἴεται.

58. Ἀλλ' ἴσθ', ἐμοὶ μὲν οὗτος οὐκ ἔσται νόμος,
Τὸ μὴ οὔ σε, μᾶτερ, προσφιλῆ νέμειν ἀεὶ,
Καὶ τοῦ δικαίου, καὶ τόκων τῶν σῶν χάριν.
Στέργω δὲ τὸν φύσαντα τῶν πάντων βροτῶν
Μάλισθ'· ὁρίζω τοῦτο· καὶ σὺ μὴ φθόνει·
Κείνου γὰρ ἐξέβλαστον, οὐδ' ἂν εἷς ἀνὴρ
Γυναικὸς αὐδήσειεν, ἀλλὰ τοῦ πατρός.

59. Καὶ τῶν παλαιῶν πόλλ' ἔπη καλῶς
ἔχει·
Λόγος γάρ ἐσθλὸς φάρμακον φόβου βροτοῖς.

60. Ἡ φύσις ἑκάστῳ τοῦ γένους ἐστὶν πατρίς.

61. Εἰ τοῖς ἐν οἴκῳ χρήμασιν λελείμμεθα,
Ἡ δ' εὐγένεια καὶ τὸ γενναῖον μένει.

62. Τὸν σὸν δὲ παῖδα σωφρονοῦντ' ἐπίσταμαι,
Χρηστοῖς θ' ὁμιλοῦντ', εὐσεβεῖν τ' ἠσκηκότα.
Πῶς οὖν ἂν ἐκ τοιοῦδε σώματος κακὸς
Γένοιτ' ἄν; οὐδεὶς τοῦτο μ' ἂν πείθοι ποτέ.

63. Οὐ γάρ τις οὕτω παῖδας εὖ παιδεύεται,
Ὥστ' ἐκ πονηρῶν μὴ οὐ κακοὺς πεφυκέναι.

64. Χρυσοῦ σε πλῆθος, τοῖσδε δ' οὐ χαίρειν
χρεών.
Σκαιὸν τὸ πλουτεῖν, κἄλλο μηδὲν εἰδέναι.

65. Ὅστις δὲ λύπας φησὶ πημαίνειν βροτοὺς,
Δεῖν δ' ἀγχονῶν τε, καὶ πετρῶν ῥίπτειν ἄπο,
Οὐκ ἐν σοφοῖσίν ἐστιν, εὐχέσθω δ' ὅμως
Ἄπειρος εἶναι τῆς νόσου ταύτης ἀεί.

66. Λῦπαι γὰρ ἀνθρώποισι τίκτουσιν νόσους.

67. Μέλλων τ' ἰατρὸς τῇ νόσῳ διδοὺς χρόνον,
Ἰάσατ' ἤδη μᾶλλον, ἢ τεμὼν χρόα.

68. Οὐ χρὴ ποτ' ὀρθαῖς ἐν τύχαις βεβηκότα
Ἕξειν τὸν αὐτὸν δαίμον' εἰσαεὶ δοκεῖν.
Ὁ γὰρ θεός πως, εἰ θεόν σφε χρὴ καλεῖν,
Κάμνει ξυνὼν τὰ πολλὰ τοῖς αὐτοῖς ἀεί.
Θνητῶν δὲ θνητὸς ὄλβος· οἱ δ' ὑπέρφρονες
Καὶ τῷ παρόντι τοὐπιὸν πιστούμενοι
Ἔλεγχον ἔλαβον τὴν τύχην, ἐν τῷ παθεῖν.

69. Βέβαια δ' οὐδεὶς θνητὸς εὐτυχεῖ γεγώς.

70. Θνητὸς γὰρ ὢν, καὶ θνητὰ πείσεσθαι δόκει.
Θεοῦ βίον ζῆν ἀξιοῖς, ἄνθρωπος ὤν;

71. Πέπονθας, οἷα χἄτεροι πολλοὶ βροτῶν.
Τὰς γὰρ παρούσας οὐχὶ σώζοντες τύχας,
Ὤλοντ' ἐρῶντες μειζόνων ἀβουλίᾳ.

72. Ἀνδρῶν τόδ' ἐστὶν ἐνδίκων τε καὶ σοφῶν,
Κἂν τοῖσι δεινοῖς μὴ τεθυμῶσθαι θεοῖς.

73. Πτηνὰς διώκεις, ὦ τέκνον, τὰς ἐλπίδας.
Οὐχ ἡ τύχη σε· τῆς τύχης δ' οὐχ εἷς τρόπος.

74. Μή μοι προτείνων ἐλπίδ' ἐξάγου δάκρυ.
Γένοιτό τ' ἂν πολλ', ὧν δόκησις οὐκ ἔνι.

75. Οὐκ ἔστι λύπης ἄλλο φάρμακον βροτοῖς,
Ὡς ἀνδρὸς ἐσθλοῦ καὶ φίλου παραίνεσις.
Ὅστις δὲ ταύτῃ τῇ νόσῳ ξυνὼν ἀνὴρ
Μέθης ταράσσει, καὶ γαληνίζει φρένα,
Παραυτα δ' ἡσθεὶς ὕστερον στένει διπλᾶ.

76. Τηρεῖν μὲν ἑτέρους οἱ γέροντες δυνάμεθα,
Ἡμεῖς δ' ἀπολαβεῖν, ὧν ἔχουσιν οἱ νέοι.

77 Μακρὸς γὰρ αἰὼν συμφορὰς πολλὰς
ἔχει.

78. Ὦ γῆρας, οἵαν ἐλπίδ' ἡδονῆς ἔχεις;
Καὶ πᾶς τις εἰς σὲ βούλετ' ἀνθρώπων
μολεῖν·
Λαβὼν δὲ πεῖραν, μεταμέλειαν λαμβάνει,
Ὡς οὐδέν ἐστι χεῖρον, ἢ γῆρας βαρύ.

79 Ψυχῆς γὰρ οὐδέν ἐστι τιμιώτερον.

80. Τὸ μὴ γενέσθαι κρεῖσσον, ἢ φῦναι,
βροτοῖς.

81. Καίτοι ποτ', εἴ τιν' εἰσίδοιμ' ἀγαπῶντα

Τυφλὸν προηγητῆρος ἐξηρτημένον,
Ἀδημονοῦντα συμφοραῖς, ἐλοιδόρουν,
Ὡς δειλὸς εἴη θάνατον ἐκποδὼν ἔχων.
Καὶ νῦν λόγοισι τοῖς ἐμοῖς ἐναντίως
Πέπτωχ᾽ ὁ τλήμων· ὦ φιλόζωοι βροτοὶ,
Οἳ τὴν ἐπιστείχουσαν ἡμέραν ἰδεῖν
Ποθεῖτ᾽, ἔχοντες μυρίων ἄχθος κακῶν.
Οὕτως ἔρως βροτοῖσιν ἔγκειται βίου·
Τὸ ζῆν γὰρ ἴσμεν· τοῦ θανεῖν δ᾽ ἀπειρίᾳ
Πᾶς τις φοβεῖται φῶς λιπεῖν τόδ᾽ ἡλίου.
82. Οὐ πανταχοῦ Φρύξ εἰμι τοῦ ζῆν ἠνόρῶ
Κρεῖσσον τὸ μὴ ζῆν, χρησόμεθα τῷ κρείττονι.
83. Θανὼν δ᾽ ἂν εἴη μᾶλλον εὐτυχέστερος,
Ἢ ζῶν· τὸ γὰρ ζῆν μὴ καλῶς μέγας πόνος.
84. Τύμβῳ γὰρ οὐδεὶς πιστὸς ἀνθρώπων φίλος.
85 Ὡς σκαιὸς ἀνὴρ ϗ ξένοισιν ἄξενος,
Καὶ μνημονεύων οὐδὲν, ὧν ἐχρῆν φίλον.
86. Σπάνιον ἄρ᾽ ἦν θανοῦσιν ἀσφαλεῖς φίλοι,
Κἂν ὁμόθεν ὦσι· τὸ γὰρ ἔχειν πλέον κρατεῖ
Τῆς εὐσεβείας· ἡ δ᾽ ἐν ὀφθαλμοῖς χάρις
Ἀπόλωλ᾽, ὅταν τις ἐκ δόμων ἔλθῃ [νέκυς.]
87. Οὐκ ἔστιν αὑρεῖν βίον ἄλυπον ἐν οὐδενί.
88. Θράσει μὲν οὐδεὶς οὐδέπω, πόνῳ δὲ, ϗ
Γενναιότητι κἀπιεικείᾳ [τρόπων]
Ἀρετὴν ἐπεκτήσατο.
89. — ξυμπεσόντων πραγμάτων ἄλλων ποτὲ,
Εὔξῃ τοιοῦτον ἄνδρα σοι παρεστάναι.
90. Μητέρα κατέκτα τὴν ἐμήν; βραχὺς λόγος·
Ἑκὼν ἑκοῦσαν, ἢ θέλουσαν οὐχ ἑκών;
91. Εὖς ὁ χρήζων.
92. Χαλεποὶ πόλεμοι γὰρ ἀδελφῶν.
93. Δόγον δίκαιον μισθὸν ἂν λόγου φέροις,
Ἔργων δ᾽ ἐκεῖνος ἔργ᾽ ἃ [ϗ] παρέσχετο.
94. Ἥκω δ᾽ ὕδατι χλωρῷ περικλυζόμενον προλιποῦσ᾽ Ἀκροκόρινθον ἱερὸν ὄχθον, πόλιν Ἀφροδίτας.
95. Ψῦχος δὲ λεπτῷ χρωτὶ πολεμιώτατον.
96 Πρὸς ταῦθ᾽ ὅ τι χρὴ ϗ παλαμάσθω,
Καὶ πάντ᾽ ἐπί μοι τεκταινέσθω·
Τὸ γὰρ εὖ μετ᾽ ἐμοῦ ϗ τὸ δίκαιον
Σύμμαχον ἔσται,
Κ᾽ οὐ μή ποθ᾽ ἁλῶ κοκὰ πράσσων.
97. ——— Μή μοι
Λεπτῶν θίγγανε μύθων, ψυχά·
Τί περισσὰ φρονεῖς; εἰ μὴ μέλλεις
Σεμνύνεσθαι παρ᾽ ὁμοίοις.
99. —— τλησίμοχθοι, κοὔποθ᾽ ἥσυχοι δορί.
100. Ζεὺς γὰρ κακὸν μὲν Τρωσὶ, πῆμα δ᾽ Ἑλλάδι
Θέλων γενέσθαι, ταῦτ᾽ ἐβούλευσεν πατήρ.
101. Ναίειν Κελαινὰς ἐσχάτοις Ἴδης τόποις.
102. Πάσχων ἀνέχου· δρῶν γὰρ ἔχαιρες.
103. Νόμος τὸν ἐχθρὸν δρᾷν, ὅπου λάβῃς, κακῶς.
104. Ἐχθρὸν κακῶς δρᾶν ἀνδρὸς ἡγοῦμαι μέρος.
105. Οὐκ ἔστιν οὐδὲν χωρὶς ἀνθρώποις θεοῦ.
106. Σῶσαι γὰρ ὁπόταν τῷ Θεῷ δοκῇ [τινά],
Πολλὰς προφάσεις δίδωσιν εἰς σωτηρίαν.
107. Σπουδάζομεν δὲ πόλλ᾽ ὑπ᾽ ἐλπίδων μάτην
Πόνους ἔχοντες.
108. Κακός· κακῷ γὰρ συντέτηκεν ἡδονῇ.
189. Ἔχει τελευτὴν ἥσπερ οὕνεκ᾽ ἐγίνετο.
110. Πολλοῖσι πολλὴν, δὶς τοσοῖσδε πλείονα.
111. Εἰ δὲ θχνεῖν θέμις, ὧδε θανεῖν καλὸν
Εἰς ἀρετὴν καταλυσαμένους βίον.
112. Μισῶ σοφιστὴν, ὅστις οὐδ᾽ αὑτῷ σοφός.
113. Ἀμρίπολος Ἄρεος ὀνιέρου·
114. --- --- --- --- φίλων
Πεῖραν λαβεῖν οὐ σμικρὸν [ὡς ὁρῶ] κακόν.
115. Κῆτος θοάζον ἐξ Ἀτλαντικῆς ἁλός.
116. Πολλαῖσι μορφαῖς οἱ θεοὶ σοφισμάτων
Σφάλλουσιν ἡμᾶς κρείσσονες πεφυκότες.
117. Τίς δ᾽ ἐστὶ δοῦλος, τοῦ θανεῖν ἄφροντις ὤν.
118. Τιμὰν τ᾽ ἀντέτασθε, πλούτῳ δ᾽ ἀρετὰν κατεργάσασθαι δοκεῖτ᾽, ἐν ἐσθλοῖς δὲ καθήσεσθ᾽ ἄνολβοι.
119. —— Ἀλλ᾽ ἐπ᾽ ἄδλῃ φάρμακον κεῖται νόσῳ·
Λυπουμένῳ μὲν μῦθος εὐμενὴς φίλων,
Ἄγαν δὲ μωραίνοντι νουθετήματα.
120. Φεῦ τοῖσι γενναίοισιν ὡς ἅπαν καλόν.
121. Ὅστις δ᾽ ἀνάγκῃ συγκεχώρηκεν βροτῶν,
Σοφὸς παρ᾽ ἡμῖν ϗ τὰ θεῖ᾽ ἐπίσταται.
122. Τὰ προσπεσόντα δ᾽ ὅστις εὖ φέρει βροτῶν,
Ἄριστος εἶναι, σωφρονεῖν τ᾽ ἐμοὶ δοκεῖ.
123 Ὁ βίος γὰρ ὄνομ᾽ ἔχει, πόνος δ᾽ ἔργῳ πέλει.
124. --- --- Εἴης μοι μετρία [Κύπρις].
Εἴης, μηδ᾽ ἀπολείποις.
125. - - --- τῶν καλῶν [τοι] ϗ τὸ μετόπωρον καλόν.
126. Ἀλλ᾽ ἀνοιστέος λόγος.
127. Ἑκάτης ἄγαλμα φωσφόρου κύων ἔσῃ.
128. Ὁ δ᾽ ἄρτι θάλλων σάρκα, διοπετὴς ὅπως

Ἀστὴρ ἀπέσβη, πνεῦμ' ἀφεὶς εἰς αἰθέρα.
129. Μάντις δ' ἄριστος, ὅστις εἰκάζει καλῶς.
130. --- --- τῶν ἄγαν γὰρ ἅπτεται
Θεὸς, τὰ μικρὰ δ' εἰς τύχην ἀνεὶς ἐᾷ.
131. Ἀκόλαστα πάντη γίνεται δούλων τέκνα.
132. ——— σιωπὴ τοῖς σοφοῖς ἀπόκρισις.
133. Εἰ δ' ἦσαν ἀνθρώποισιν ὠνητοὶ λόγοι,
Οὐδεὶς ἂν αὐτὸν εὖ λέγειν ἐβούλετο·
Νῦν δ', ἐκ βαθείας γὰρ πάρεστιν αἰθέρος
Λαβεῖν ἀμισθὶ, πᾶς τις ἥδεται λέγων
Τά τ' ὄντα ϗ μή· ζημίαν γὰρ οὐκ ἔχει.
134. Τὰ τῶν τεκόντων σφάλματ' εἰς τοὺς ἐκγόνους
Οἱ θεοὶ τρέπουσιν.
135. Οὐ βούλομαι πλουτοῦντι δωρεῖσθαι πένης,
Μὴ μ' ἄφρονα κρίνῃς, οὐδιδοὺς αἰτεῖν δοκῶ.
136. Οἶνος περάσας πνευμόνων διαῤῥοάς.
137. Ἀβέλτεροι δ' ὅσοι γε τὴν σωτηρίαν
Οἴκοι παρ' αὐτῶν σχόντες --- ------
Ἄλλην θέλουσιν εἰσαγώγιμον λαβεῖν.
138. Πολλοὺς δὲ βροντῆς πνεῦμ' ἄναιμον ὤλεσε.
139. Ὁ πετόμενος ἱερὸν ἀνὰ Διὸς αἰθέρα γοργοφόνος.
140. Πλούτῳ χλιδῶσα, θνητὰ δὴ, γύναι, φρονεῖς;
141. Εἴθ' ἦν ἄφωνον σπέρμα δύστηνον βροτῶν.
142. Τέκτων γὰρ ὢν ἔπρασσες οὐ ξυλουργικά.
143. Ὁ τῆς τύχης παῖς κλῆρος, ἐπὶ τούτῳ ταγεὶς.
144. Θέρους τε χειμῶνός τε μῆνας τέσσαρας,
Φίλης τ' ὀπώρας διπτύχους, ἦρός τ' ἴσους.
145. Ἀλλ' ἔστιν [ἔστιν], εἴ τις ἐγγελᾷ λόγῳ,
Ζεὺς ϗ θεοὶ βρότεια λεύσσοντες πάθη.
146. --- --- Οὐ Κύπρις μόνον,
Ἀλλ' ἐστὶ πολλῶν ὀνομάτων ἐπώνυμος.
Ἔστιν μὲν ᾅδης, ἔστι δ' ἄφθιτος βία,
Ἔστιν δὲ λύσσα μανιάς.
147. Θεὸν δὲ ποῖον, εἰπέ μοι, νοητέον;
Τὸν πάνθ' ὁρῶντα, κ' αὐτὸν οὐχ ὁρώμενον.
148. Κρέασι βοείοις χλωρὰ σῦκ' ἐπήσθιεν,
Ἄμουσ' ὑλακτῶν, ὥστε βαρβάρῳ μαθεῖν.
149. Τὸ μὴ γενέσθαι κρεῖττον, ἢ φῦναι, βροτοῖς.
Ἔπειτα παῖδας σὺν πικραῖς ἀλγηδόσι
Τίκτω· τεκοῦσα δ', ἣν μὲν ἄφρονας τέκω,
Στένω ματαίως εἰσορῶσα μὲν κακοὺς,
Χρηστοὺς δ' ἀπολέσασ'· ἣν δὲ ϗ σεσωσμένους,
Τήκω ταλαίναν καρδίαν ὀῤῥωδίᾳ.
Τί τοῦτο δὴ τὸ χρηστόν; οὐκ ἀρκεῖ μίαν
Ψυχὴν ἀπολύειν, κἀπὶ τῇδ' ἔχειν πόνους;
150. --- --- Ἐμοί γε νῦν τε, ϗ πάλαι δοκεῖν,
Παῖδας φυτεύειν οὔποτ' ἀνθρώπους ἐχρῆν,
Πόνους ὁρῶντας εἰς ὅσους φυτεύομεν.
151. Ὦ δυστυχεῖν φὺς, ϗ κακῶς πεπραγέναι,
Ἄνθρωπος ἐγένου, ϗ τὸ δυστυχὲς βίου
Ἐκεῖθεν ἔλαβες, ὅθεν ἅπασιν ἤρξατο
Τρέφειν ὅδ' αἰθὴρ. ἐνδιδοὺς θνητοῖς πνοάς.
Μὴ νῦν τὰ θνητὰ θνητὸς ὢν ἀγνωμόνει.
152. Οὐδεμίαν ὤνησε κάλλος εἰς πόσιν ξυνάορον,
Ἡ ἀρετὴ δ' ὤνησε πολλάς· πᾶσα γὰρ καλὴ γυνὴ,
Ἥτις ἀνδρὶ συντέτηκε σωφρονεῖν τ' ἐπίσταται.
Πρῶτα μέν γε ταῦθ' ὑπάρχει· κἂν ἄμορφος ᾖ πόσις,
Χρὴ δοκεῖν εὔμορφον εἶναι τῇ γε νοῦν κεκτημένῃ·
Οὐ γὰρ ὀφθαλμὸς τὸ [ταῦτα] κρῖνον ἐστὶν, ἀλλὰ νοῦς.
153. Εὖ λέγειν δ', ὅτ' ἄν τι λέξῃ, χρὴ δοκεῖν, κἂν μὴ λέγῃ.
Κἀκπονεῖν, ἃ 'ν τῷ ξυνόντι πρὸς χάριν μέλλῃ λέγειν.
Ἡδὺ δ', ἢν κακόν τι πράξῃ, συσκυθρωπάζειν πόσει
Ἄλοχον, ἐν κοινῷ τε λύπης ἡδονῆς τ' ἔχειν μέρος.
Σοὶ δ' ἔγωγε ϗ νοσοῦντι συννοσοῦσ' ἀνέξομαι,
Καὶ κακῶν τῶν σῶν συνοίσω, κ' οὐδὲν ἔσται μοι πικρόν.
Μετὰ γὰρ ἐσθλῶν] τῶν φίλων [γε δυστυχεῖν ἅπαντ' ἀεὶ]
Εὐτυχεῖν τε χρή· τί γὰρ δὴ τὸ φίλον ἄλλο, πλὴν τόδε;
154. Ὄλβιος, ὅστις τῆς ἱστορίας
Ἔσχε μάθησιν, μήτε πολιτῶν
Ἐπὶ πημοσύνῃ, μήτ' εἰς ἀδίκους
Πράξεις ὁρμῶν,
Ἀλλ' ἀθανάτου καθορῶν φύσεως
Κόσμον ἀγήρω, πῇ τε συνέστη.
Τοῖς γε τοιούτοις οὐδέποτ' αἰσχρῶν
Ἔργων μελέτημα προσίζει.
155. Χρύσεαι δή μοι πτέρυγες περὶ νώτῳ ϗ
Τὰ Σειρήνων ἐρόεντα πέδιλα ἁρμόζεται· βάσομαί
Τ' ἐς αἰθέρα πολὺν ἀερθεὶς, Ζηνὶ προσμίξων.

156. Σοὶ, τῷ πάντων μεδέοντι, χοὴν
Πέλανόν τε φέρω, Ζεὺς, εἴτ' Ἀΐδης,
Ὀνομαζόμενος στέργεις· σὺ δέ μοι
Θυσίαν ἄπυρον παγκαρπείας
Δέξαι πλήρη προχυθεῖσαν.
Σὺ γὰρ ἔν τε Θεοῖς τοῖς οὐρανίδαις
Σκῆπτρον τὸ Διὸς μεταχειρίζων,
Χθονίων θ' Αἴδῃ μετέχεις ἀρχῆς.
Πέμψον μὲν φῶς ψυχαῖς ἀνέρων
Τοῖς βουλομένοις ἄθλους προμαθεῖν
Πόθεν ἔβλαστον, τίς ῥίζα κακῶν,
Τίνα δεῖ μακάρων ἐκθυσαμένους
Εὑρεῖν μόχθων ἀνάπαυλαν.
157. Ποῖος δ' αν οἶκος, τεκτόνων πλασθεὶς ὕπο,
Δέμας τὸ θεῖον περιβάλοι τοίχων πτυχαῖς;
158. Κακὸν γυναῖκα πρὸς νέον ζεῦξαι γραῖαν.
Ὁ μὲν γὰρ ἄλλης λέκτρον ἱμείρει λαβεῖν,
Ἡ δ' ἐνδεὴς τοῦδ' οὖσα, βουλεύει κακά.
159. Ὃς τάδε λεύσσων Θεὸν οὐχὶ νοεῖ,
Μετεωρολόγων δ' ἑκὰς ἔῤῥιψεν
Σκολιὰς ἀπάτας, ὧν ἀτηρὰ
Γλῶσσ' εἰκοβολεῖ περὶ τῶν ἀφανῶν,
Οὐδὲν γνώμης μετέχουσα.
160. Νικᾷ ἡ χρεία με, ἡ κακῶς τ' ὀλουμένη
Γαστὴρ, ἀφ' ἧς δὴ πάντα γίνεται κακά.
161. Ὦ πολύμοχθος βιοτὰ θνητοῖς,
Ὡς ἐπὶ παντὶ σφαλερὰ κεῖσαι,
Καὶ τὰ μὲν αὔξεις, τὰ δ' ἀποφθινύθεις,
Κοὐκ ἔστιν ὅρος κείμενος οὐδεὶς,
Εἰς ὅντινα χρὴ τελέσαι θνητοῖς,
Πλὴν ὅταν ἔλθῃ κρυερὰ Διόθεν
Θανάτου πεμφεῖσα τελευτή.
162. -- --- --- ὅσοι δ' ἰατρεύουσι καλῶς,
Πρὸς τὰς διαίτας τῶν ἐνοικούντων πόλιν
Τὴν γῆν τ' ἰδόντας, τὰς νόσους σκοπεῖν χρεών.
163. Κορυφὴ ἡ θεῶν, ὁ περὶ χθόν' ἔχων
Φαεινὸς αἰθήρ.
164. Ἀρκεῖ μετρία βιοτά μοι σώφρονος τραπέζης,
Τὸ δ' ἄκαιρον ἅπαν ὑπερβάλλον τε μὴ προστίμαν.
165 Ἐν πλησμονῇ τοι Κύπρις, ἐν πεινῶντι δ' οὔ.
166. Παίδευμα δ' Ἔρως σοφίας, ἀρετῆς
Πλεῖστον ὑπάρχει, καὶ προσομιλεῖν
Οὗτος ὁ δαίμων
Πάντων ἥδιστος ἔφυ θνητοῖς·
Καὶ γὰρ ἄλυπον τέρψιν τιν' ἔχων
Εἰς ἐλπίδ' ἄγει· τοῖς δ' ἀτελέστοις
Τῶν τοῦδε πόνων, μήτε συνείην,
Χωρίς τ' ἀγρίων ναίοιμι τρόπων.
Τὸ δ' ἐρᾷν προλέγω τοῖσι νέοισιν
Μήποτε φεύγειν,
Χρῆσθαι δ' ὀρθῶς, ὅταν ἔλθῃ.
167. Οἴμοι· δράκων μου γίνεται τό γ' ἥμισυ,
Τέκνον, περιπλάκηθι τῷ λοιπῷ πατρί.
168 Εἰ μὲν τόδ' ἦμαρ πρῶτον ἦν κακουμένῳ,
Καὶ μὴ μακρὰν δὴ διὰ πόνων ἐναυστόλουν,
Εἰκὸς σφαδάζειν ἦν ἄν, ὡς νεόζυγα
Πῶλον, χαλινὸν ἀρτίως δεδεγμένον.
Νῦν δ' ἀμβλύς εἰμι, καὶ κατηρτυκὼς κακῶν.
169. --- - - Οὐ γὰρ ἀσφαλές τινι
Περαιτέρω τὸ κάλλος, ἢ μέσως, λαβεῖν.
170. --- --- --- Βακχίου φιλανθέος
Αἴθοπα, πεπαίνοντ' ὄρχατους ὀπωρινούς,
Ἐξ οὗ βροτοὶ καλοῦσιν οἶνον αἴθοπα.
171 Παίζω· μεταβολὰς γὰρ πόνων ἀεὶ φιλῶ.
172. Ἡ φύσις ἐβούλεθ', ᾗ νόμων οὐδὲν μέλει.
173. Ἧκει δ' ἐπ' ὤμοις ἡ σὺος φέρων βάρος,
Ἡ τὴν ἄμορφον Αὔγα, δύσοχον δάκος.
174. Κάλλιστα Μυσῶν φθέγγεται πλουτῶν ἀνήρ.
175. --- --- --- Αἰθέρα καὶ Γαῖαν
Πάντων γενέτειραν ἀείδω.
176. Ἀωρὶ ποντου κύματ' εὐρίως --- ---
Περῶντα.
177. Σμικραῖς ἐπιβρίπουσιν αὐτοὺς ἐλπίσι.
178. Πυριγενὴς ἡ δράκων ὁδὸν ἡγεῖται
Ταῖς τετραμόρφοις ὥραις, ζευγνὺς
Ἁρμονίᾳ πολύκαρπον ὄχημα.
179. Καὶ Γαῖα μῆτερ· ἑστίαν δέ σ' οἱ σοφοὶ
Βροτῶν καλοῦσιν, ἡμένην ἐν αἰθέρι.
180. Οὐχ' ἀλλ' εἴ μ' ἐνύπνιον αἴδης μ' ἐδέξατο.
181. Μὴ κτεῖνε· τὸν ἱκέτην γὰρ οὐ θέμις κτανεῖν.
182. Νῦν οὖν ἕκατι ῥημάτων κτενεῖτέ με;
183. Ἅλα πορφυρέην.
184. Πνεύματα καὶ φοινίας ἔχει ῥοάς.
185. Δεινόν γε ταυτὸν τοῖς μὲν ἀνδάνειν βροτῶν,
Τοῖς δ' ἔχθος εἶναι.
186. Ἀλλ' ἤδε μ' ἐξέσωσεν· ἤδε μοι τροφὸς,
Μήτηρ, ἀδελφὴ, δμωῒς, ἄγκυρα, στέγη.
187. Πᾶσιν τάδ' εἰσορῶντες, ἢ θεῶν γένος
Εἶναι λέγωμεν, ἢ νόμοισι χρώμεθα;
188. Πολλάκι μοι πραπίδων διῆλθε φροντὶς, εἴτε τύχα, εἴτε Δαίμων, τὰ βρότεια κραίνει· παρά τ' ἐλπίδα καὶ παρὰ Δίκαν τοὺς μὲν ἀπ' οἴκων ἀναπίπτοντας ἄτερ θεοῦ, τοὺς δ' εὐτυχοῦντας ἄγει τὸ παρ' Ἐλπίδα.

189. Θεὸς γάρ τις ἐν ὑμῖν.
190. Φθείρουσιν ἤθη χρησθ' ὁμιλίαι κακαί.
191. Αἴαντος δίκαιος γόνος.
192. Οὐχ ἑσπέρας φασ', ἀλλὰ καὶ μεσημβρίας
Τούτους ἀφεστήκασιν ἡμέραν τρίτην
Σατύρου.
193. Ὅθ' οὕνεκ' αὐτὸς πάντα συλλαβὼν ἔχει.
194. --- --- πολλὰ γὰρ κραίνει Θεός.
195. Πολλοὶ παρῆσαν, ἀλλ' ἄπιστοι Θεσσαλοί.
196. Τί χρέος ἔβα δῶμα.
197. Τηλοῦ γὰρ οἴκων βίοτον ἐξιδρυσάμην.
198. Ἢ τέρα φράσω;
199. Ἕως ἡνίχ' ἐκ πόλης ἐξέλαμψεν ἀστήρ.
200. Ἀληθές, ὦ παῖ τῆς θαλασσίας θεοῦ.
201. Ἀλλ' αἰσχρὸν εἰπεῖν καὶ σιωπῆσαι βαρύ.
202. --- --- Τί σιγᾷς; μῶν φόνον τιν' εἰργάσω;
203. Ὁ δ' ἐσφάδαζεν, οὐκ ἔχων ἀπαλλαγάς.
204. Δούλοισι γάρ τε ζῶμεν οἵ τ' ἐλεύθεροι.
205. Τὸν εὐτυχοῦντα καὶ φρονεῖν νομίζομεν.
206. Ἡ σπαρτῶν τῶν ἄγαν πολεμικῶν.
207. ----- λίνου κλωστῆρα περιφέρει λαβών.
208. --- --- --- Λῦε πακτὰ δωμάτων.
209. Ἀκύματος δὲ πορθμὸς ἐν φρικῇ γελᾷ.
210. Γλαυκῶπίς τε στρέφεται μήνη.
211. Ἤπειρον εἰς ἄπειρον ἐκβαλὼν πόδα.
212. Ἄλλων ἰατρὸς αὐτὸς ἕλκεσι βρύων.
213. --- --- κρημνίσαι
Αὐτὴν --- --- ἐκ μέσης ἀντηρίδας.
214. Γλώσσῃ διαψαίρουσα μυκτήρων πόρους.
215. Ἄφρων ἂν εἴην, εἰ τρέφοιν τὰ τῶν πέλας.
216. Σὺν Ἀθανᾷ καὶ χεῖρα κίνει.
217. Λευκοὺς λίθους ἔχοντες αὐχοῦσιν μέγα.
218. --- --- --- Ἢ φρονεῖν ἔλασσον [οὖν],
Ἢ δύνασθαι δεῖ σε μεῖζον.
219. Φιλεῖ δὲ τῷ κάμνοντι συσπεύδειν Θεός.
220. Ἔνδον γυναικῶν καὶ παρ' οἰκέτας λόγος.
221. Πόλει μὲν ἄρχων, φωτὶ δ' οὐκ ἔτῃ πρέπων.
222. Ἀεί ποτ' ἐ[στι] σπέρμα κηρύκων λάλον.
223. Τ' ἀλλότρια δαπανεῖν τὸν καλῶς εὐδαίμονα.
224. Ἐπεὶ δὲ κρεῖσσον τὸ κακόν ἐστι τ' ἀγαθοῦ.
225. Ἐν ἀγγέλῳ γὰρ κρυπτὸς ὀρθοῦται λόγος.
226. Ἀρχεσίγυιος οἶνος.
227. — --- οὐθ' ὅμοιον οὐδὲν, οὔτ' ἴσον βροτοῖς.

Omiſſum in Archelao.

Βασιλεῦ χώρας τῆς πολυόλβου,
Κισσεῦ, πεδίον πυρὶ μαρμαίρει.

EPIGRAMMA.

Ὦ τὰν ἀγήραντον πόλιν αἰθέρος, Ἥλιε, τέμνων,
Ἆρ' εἶδες τοιόνδ' ὄμματι πρόσθε πάθος,
Μητέρα, παρθενικήν τε κόρην, δισσούς τε συναίμους
Ἐν ταυτῷ φέγγει μοιριδίῳ φθιμένους.

Ex Epicedio in cladem Atheninſium in Sicilia ſcripto.

Οἵ δὲ Συρακοσίους ὀκτὼ νίκας ἐκράτησαν
Ἄνδρες, ὅτ' ἦν τὰ θεῶν ἐξ ἴσου ἀμφοτέροις.

Ex oda in Olympiacam Alcibiadis victoriam.

Σὲ δ' ἀείσομαι, ὦ Κλεινίου παῖ·
Καλὸν ἁ νίκα· κάλλιστον δ',
Ὃ μηδεὶς ἄλλος Ἑλλάνων
Ἅρματι πρῶτα δραμεῖν
Καὶ δεύτερα καὶ τρίτα·
Βῆναι δ' ἀπονητὶ
Δὶς στεφθέντ' ἐλαίᾳ
Κάρυκι βοὰν παραδοῦναι.

Ex eadem, ut videtur, oda.

Χρὴ τῷ εὐδαίμονι πρῶτον ὑπάρξαι
Πόλιν εὐδόκιμον.

Fragmenta, quae ex tragoediis Eurip. petita videntur, quaeque, quamvis non conſtiterit nobis, e quibus fabulis ſumta ſint, malebamus tamen ex ed. Barn. huc referre, quam cum Muſgr. omitterre, ſunt haec:

1. Ἔα με κερδαίνοντα κεκλῆσθαι κακόν·
Κρεῖσσον γάρ, ἢ σέβοντα τοὺς θεῶν νόμους

Πένητα ναίων, δόξαν ἠμπολικότα.
2. Σὺ δ', ὦ τὸ λαμπρὸν φῶς καταισχύνων γένους,
Φαίνεις ἀρίστου πατρὸς Ἑλλήνων γεγώς.
3. —— Δέδοικα δή,
Μή τοι νοσήσῃς, Οἰδίπου·
4. Βέβαιον οὐδέν ἐστιν ἐν θνητῶν γένει.
5. Βιοῖ γὰρ οὐδεὶς ὃν προαιρεῖται τρόπον.
6. Ὡς ἐν τῇ πᾶσι γνώμα ταὐτὸν ἐμπρέπει.
7. Ὁ Ζεὺς κολαστὴς τῶν ἄγαν ὑπερφρόνων.
8. Τί ποτ' ὦ τέκνα γὰρ τάδε κηραίνετε.
9. —— Μὴ τελεσφόρους
Εὐχὰς θεοὶ κραίνωσιν.
10. Τὸ γὰρ δίκαιον οὐκ ἔχει λόγον δυοῖν
Ἐρίζειν.
11. Ὤφειλε δ' * * * εἴπερ ἔστ' ἐν οὐρανῷ
Ζεύς, μὴ τὸν αὐτὸν δυστυχῆ καθιστάναι.
12. Ὀξὺς θεῶν ὀφθαλμὸς εἰς τὰ πάντ' ἰδεῖν
Ἔσθ', ὡς ἔοικεν, ἔστιν οὐχ ὁρώμενον
Τοῖς ζῶσιν ἡμῖν, οὐδὲ προσδοκώμενον
Δαιμόνιον, ᾧ μέλει τὰ τοῦ θνητοῦ βίου.
13. Πολλοῖς ὁ δαίμων, οὐ κατ' εὔνοιαν φέρων
Μεγάλα δίδωσιν εὐτυχήματ', ἀλλ' ἵνα
Τὰς συμφορὰς λάβωσιν ἐμφανεστέρας.
14. Τί ποτ' ὁ Προμηθεύς, ὃν λέγουσ' ἡμᾶς πλάσαι
Καὶ τἄλλα πάντα ζῶα, τοῖς μὲν θηρίοις
Ἔδωχ' ἑκάστῳ κατὰ γένος μίαν φύσιν;
Ἅπαντες οἱ λέοντές εἰσιν ἄλκιμοι·
Δειλοὶ πάλιν ἑξῆς πάντες εἰσὶν οἱ λαγοί.
Οὐκ ἔστ' ἀλώπηξ, ἡ μὲν εἴρων τῇ φύσει,
Ἡ δ' αὐθέκαστος· ἀλλ' ἐὰν τρισμυρίας
Ἀλώπεκάς τις συναγάγοι, μίαν φύσιν
Ἁπαξάπασιν ὄψεται, τρόπον θ' ἕνα.
Ἡμῶν δ' ὅσα καὶ τὰ σώματ' ἐστὶ τὸν ἀριθμὸν
Καθ' ἑνός, τοσούτους ἐστὶ καὶ τρόπους ἰδεῖν.
15. Τί δῆτα μοχθεῖν δεῖ γυναικεῖον γάμον
Φρουροῦντας; αἱ γὰρ εὖ τεθραμμέναι πλέον
Σφάλλουσιν οἴκους τῶν παρημελημένων.
16. Ναῦς ἡ μεγίστη κρεῖσσον, ἢ μικρὸν σκάφος.
17. Ἐχθροῖσιν εἴη πολεμίαν δάμαρτ' ἔχειν.
18. Κρεῖττον δ' ἑλέσθαι ψεῦδος, ἢ ἀληθὲς κακόν.
19. Ἐγὼ δ' ἐμαυτοῦ καὶ κλύειν ἐπίσταμαι
Ἄρχειν θ' ὁμοίως, τῇ 'ρετῇ σταθμώμενος
Τὰ πάντα.
20. Ἐπὰν ἐν ἀγαθοῖς εὐνοούμενός τις ὢν
Ζητεῖ τι κρεῖττον, ὧν ἔχει, ζητεῖ κακά.
21. Τολμῶ κατειπεῖν, μή ποτ' οὐκ εἰσὶν θεοί;
Κακοὶ γὰρ εὐτυχοῦντες ἐπιπλήττουσί με.
22. Οὐ κατθανεῖν γὰρ δεινόν, ἀλλ' αἰσχρῶς θανεῖν
23. --- Ἀλλ' ἄπιθ', ὦ Θρᾶττ', ἐκποδὼν
Δούλοις γὰρ οὐκ ἔξεστ' ἀκούειν τῶν λόγων.
24. Τράπεζ', ἀπόντων τῶν λόγων, φάτνη πέλει.
25. Ὅταν δ' ὁ Δαίμων ἀνδρὶ πορσύνῃ κακά,
Τὸν νοῦν ἔβλαψε πρῶτον ---
26. Αὔρα θεῶν ὄχημα τιμιώτατον.
27. Ἐμοῦ θανόντος, γαῖα μιχθήτω πυρί·
Οὐδὲν μέλει μοι· τἀμὰ γὰρ καλῶς ἔχει.
28. Ἀνὴρ δίκαιός ἐστιν, οὐχ, ὁ μὴ ἀδικῶν,
Ἀλλ' ὅστις ἀδικεῖν δυνάμενος μὴ βούλεται·
Οὐδ' ὃς τὰ μικρὰ λαμβάνειν ἀπέσχετο,
Ἀλλ' ὃς τὰ μεγάλα καρτερεῖ μὴ λαμβάνων
Ἔχειν δυνάμενος καὶ κρατεῖν ἀζημίως.
Οὐδ' ὅς γε ταῦτα πάντα διατηρεῖ μόνον,
Ἀλλ' ὅστις ἄδολον γνησίαν τ' ἔχων φρένα
Εἶναι δίκαιος, οὐ δοκεῖν εἶναι θέλει.
29. Ἀλκμαίων. Ἀνδροκτόνου γυναικὸς ὁμογενὴς ἔφυς.
Ἄδραστος. Σὺ δ' αὐτόχειρ γε μητρός, ἥ σ' ἐγείνατο.
30. Ἀνδρ. Σὺ δ' εἶ τις, ὅστις τοὐμὸν ᾤκτειρας πάθος;
--- Οἵῳ μ' ὁ Δαίμων θηρίῳ συνῴκισεν;
31. Πόντου πλάνητες Λευκόθεαν ἐπώνυμον. ---
Σεμνὸς Παλαίμων ναυτίλοις κεκλήσεται.
32. Μισῶ πολίτην, ὅστις ὠφελεῖν πάτραν
Βραδὺς πέφυκεν, μάλα δὲ βλάπτειν ταχύς,
Καὶ πόριμον αὑτῷ, τῇ πόλει δ' ἀμήχανον.
33. Α. Τί δεῖ θεοὺς σέβειν σε κατθανούμενον;
Β. Ἄμεινον· οὐδεὶς κάματος εὖ σέβειν θεούς.
34. Ἰώ, τυραννὶ, βαρβάρων ἀνδρῶν φίλη.
35. Σὺ δὲ λέγεις ταῦτ', οὐκ ἐγώ.
36. Χρυσὸς γάρ ἐστιν, ὃς βροτῶν ἔχει κράτος.
37. Φίλων γε μέντοι χρῆσις ἡ πρὸς αἵματος
Μόνη κακοῦ ῥέοντος ὠφελεῖν φιλεῖ.
38. --- Ἡ βροτῶν τ' εὐπραξία
Τῶν τἀλάχιστα γίνεται λυπουμένων.
39. Ὀργαὶ γὰρ ἀνθρώποισι συμφορᾶς ὕπο
Δειναί· πλάνος τε καρδίᾳ προσίσταται.
40. Ἐν τοῖς κακοῖσι συγγένει' ὅταν παρῇ
Τραχεῖα κὠξύθυμος, ἀμαθίαν ἔχει.
41. Μὴ κάμνε πατρίδα σὴν λαβεῖν πειρώμενος.
42. Ψύφη τ' ἐσθλὸν κἂν μυχῷ δείκνυσι γῆς.
43. Ὅστις γὰρ ἐν κακοῖσι θυμωθεὶς βροτῶν
Μεῖζον προσάπτει τῆς νόσου τὸ φάρμακον,

Ἰατρός ἐςὶν ὑκ ἐπιςήμων κακῶν.

44. Α. Ἀργεῖος, ἢ Θηβαῖος. Η. Οὐ γὰρ εὔχομαι
Μιᾶς. ἅπας μοι πύργος Ἑλλήνων πατρίς.

45. Οἱ μὲν πέρα στέρξαντες, οἱ δὲ ϗ πέρα
Μισῦντες - -

46. Εἰ μὲν πρὸς αὐγὰς ἡλίυ, χρυσωπὸν ἦν
Νώτισμα θηρός. εἰ δὲ πρὸς νέφη βάλοι,
Κυανωπὸν, ὥς τις Ἶρις, ἀνταυγεῖ σέλας.

47. Δεινὴ πόλις νοσῦσ' ἀνευρίσκειν κακά.
Οὐκ ἔςιν ὐδὲν τῶν ἐν ἀνθρώποις ἴσον.
Χρὴ γὰρ τύχας μὲν τὰς μάτην πλανωμένας
Μηδὲν δύνασθαι, τἀμφανῆ δ' ὑψηλ' ἄγειν.
Ὅςις κατ' ἰσχὺν πρῶτος ὠνομάζετο
Ἢ τόξα πάλλων, ἢ μάχῃ δορὸς σθένων,
Τῦτον τυραννεῖν τῶν κακιόνων ἐχρῆν.

48. Ἀλλ' ὅπου' αὐτὸς ἀμπλακὼν ἄλλον βροτὸν
Παραινέσαιμ' ἂν παισὶ προσθεῖναι κράτη,
Πρὶν ἂν κατ' ὅσσον τυγχάνῃ μεζονότος,
Εἰ χρὴ διελθεῖν πρὸς τέκνων νικώμενον.

49. Ὁ θυμὸς αὐτὸν τῶν φρενῶν ἐξῆρεν ἄνω.

50. Ὅδ' εἰς τὸ σῶφρον ἐπ' ἀρετήν τ' ἄγων ἔρως
Ζηλωτὸς ἀνθρώποισιν, ὧν εἴην ἐγώ.

51. Καὶ τοῖς τεκῦσιν ἀξίαν τιμὴν νέμειν.

52. Δίκαια τὺς τεκόντας ὠφελεῖν τέκνα.

53. --- ὡς ἀποκτείνειν φθόνος
Γυναῖκας, ἃς τὸ πρῶτον ὐκ ἐκτείνατε.

54. Πυῤῥὸς γενύεσσιν.

55. Χρὴ θεσπιῳδεῖν Φοῖβον ἀνθρώποις μόνον.

INDEX

IN

EURIPIDEM.

INDEX

IN

EURIPIDEM.

ABSENTIA minus moleſta praeſentibus. *Ion* v. 597.

Achilles a Paride et Deiphobo propter Polyxenam ſibi diſponſatam interfectus. *Hecub.* Argum.

Achillis umbra Graecis apparens, eos a navigatione in patriam deterret. *Hecub.* Argum.

Achillis umbra Polyxenam ſibi mactari poſtulat. *ibid.*

Ahilli Polyxenam ut immolet, Ulyſſes Hecubae perſuadere conatur. *Hecub.* v. 255. etc.

Actaeon canibus dilaceratus. *Bacch.* v. 1291.

Adflictorum precibus laeta fortuna ebrios nihil moveri. *Suppl.* v. 126, etc.

Adoleſcentes ſaepe ſtultitiores foeminis. *Hippolyt.* v. 980.

Adverſa patienter ſunt ferenda, *Hecub.* v. 547.

in Adverſis amicus ſincerus dulciſſimum levamen. *Andromach.* v. 986.

in Adverſis rebus potiſſimum ſinceros amicos cognoſci. *Oreſt.* v. 456.

in Adverſis rebus ſapienter ſe gerere, difficile eſt, ſed tamen utile. *Hecub.* v. 228.

in Adverſis nihil praecipitanter agendum. *Herc. Fur.* v. 103.

Adverſitas, amicorum examen certiſſimum. *Herc. Fur.* v. 59.

Adulterium in muliere famoſius crimen, quam in viro. *Electr.* v. 1039.

Aegeus, Pandionis, Athenienſium regis, F. *Medea* v. 672.

Aegeus hoſpitium Medeae pollicetur. *Medea* v. 730.

Aegeus oraculum Apollinis conſulit ſuper liberorum procreatione. *Medea* v. 676.

Aegrotare facilius, quam aegrotum recte curare. *Hippolyt.* v. 187.

Aegrotantes plerumque moroſi et intractabiles. *Oreſt.* v. 241.

Aequalitati in omnibus rebus ſtudendum. *Phoeniſſ.* v. 549.

Aetas, Saturni filia. *Heraclid.* v. 903.

Aetheri comparatur Vita humana. *Danae* fr. n. 1.

Aether Jupiter. *Incerta.* fr. n. 1.

Aethra, Athenarum regina, Pitthei filia. *Suppl.* v. 3.

Aetoli plerumque ſcutiferi. *Phoeniſſ.* v. 141. Siniſtro pede nudo pugnant. *Meleager* n. 6. v. ult.

Aevum poſterioribus ſententiis non corrigi. *Suppl.* v. 1086.

Agamemnon Polymeſtorem condemnat. *Hecub.* Argum.

Agyieus Apollo. *Phoeniſſ.* v. 644.

Alata verba. *Oreſt.* v. 1182.

Alceſtis, Admeti uxor, pro marito ſe morti offert. *Alceſt.* v. 36.—eadem ab Hercule ex inferis erepta, et Admeto reddita. *ibid.* v. 1141.

Alcibiadis laus. *Od.* v. 4.

Ambitionis vitium quam noxium. *Phoeniſſ.* v. 545.

Amentiae finis infelicitas. *Bacch.* v. 386.

Amicitia potius humanitate, quam armis, comparanda. *Phoeniſſ.* v. 529.

Amicitiae novae veteribus plerumque anteponuntur. *Medea.* v. 76.

Amicus fidus in adverſis dulciſſimum refrigerium. *Oreſt.* v. 727.

Amicus quando potiſſimum juvandus. *Iphig.* Aul. v. 347.

Amicus utrique fortunae convenit. *Ion* 742.

Amicus ſincerus multis cognatis praeſtantior. *Oreſt.* v. 809.

ad Amici boni vultum adſpicere in rebus adverſis dulce. *Ion* v. 744.

Amico certo nihil praeſtabilius. *Oreſt.* v. 1165.

Amicum probum, etiam tardum, praeſtare malo et verſuto. *Ion* v. 846.

Amicum verum condolere amicis triſtantibus. *Herc. Fur.* v. 1227.

Amici abſentes aeque ac praeſentes juvandi. *Andromach.* v. 1052.

Amici falſi a ſinceris difficulter dijudicantur. *Hippolyt.* v. 969.

Amici in afflictionibus non deſerendi. *Oreſt.* v. 456.

Amici inſinceri tempore afflictionum cognoſcuntur. *Oreſt.* v. 456.

Amici veri qui. *Oreſt.* v. 451.

Amici veri in rebus adverſis probantur. *Hec.* v. 1226. *Oreſt.* v. 802.

Amicorum certorum non magnus numerus. *Suppl.* v. 870.

Amicorum conſpectus quovis tempore gratus. *Alceſt.* v. 361.

Amicorum, cum Deus faverit, non eſſe uſum. *Herc. Fur.* v. 1342.

Amicorum infidelium natura. *Oreſt.* v. 750.

Amicorum irae vehementiſſimae. *Medea* v. 527.

Amicorum omnia communia. *Oreſt.* v. 735. *Andromach.* v. 377.

Amicorum ſincerorum utilitas quanta. *Oreſt.* v. 1166.

Amicis bonis divitiae aut potentia non pluris facienda. *Herc. Fur.* v. 1429.

Amicis ex amicis peſtem nullam aut noxam provenire. *Herc. Fur.* v. 1237.

Amicis morientibus commori, gratiſſimum. *Suppl.* v. 1008.

cum Amicis mutuo dolendum. *Iphig. Aul.* v. 409.

Amicis verbis plus, quam vi et armis, efficiſ. *Phoeniſſ.* v. 530.
inter Amicos gratia ſeneſcens odioſa. *Herc. Fur.* v. 1226.
Amicos impotentes et inopes conſtantiores eſſe in adverſis, quam divites. *Herc. Fur.* v. 57.
Amicos laetari laetis amicorum rebus.
Amor conjugalis cur in multis tam vehemens. *Hecub.* v. 831.
Amor doloribus et voluptate plenus. *Hippolyt.* v. 384.
Amor ex adſpectu. *ibid.* v. 530.
Amor multorum malorum cauſa. *Medea* v. 334.
Amor caſtus. *Dictys* n. 1. v. 3. *Oedipus* n. 15. v. 3.
Amoris laus. *Auge* n. 3. v. 1. *Incerta.* n. 165.
Amoris furor omnium affectuum vehementiſſimus. *Medea* v. 1005.
Amoris injuſti deteſtatio. *ibid.* v. 634.
Amoris vis. *Troad.* v. 897.
ex Amore benevolentiam conciliari. *Hecub.* v. 831.
Amphiaraus vates. *Phoeniſſ.* v. 178.
Andromachae ſuum infelicem ſtatum deplorat. *Andromach.* v. 6.
Andromachae inſidiae ab Hermione ſtructae. *ibid.* Arg.
Animi magnitudo etiam in adverſis retinenda. *Phoeniſſ.* v. 1756.
Animi proditor vultus et forma. *Ion* v. 248.
Animum virilem et generoſam vim diſciplina parari poſſe. *Suppl.* v. 915.
Animi defunctorum quales. *Helena* v. 1023.
Animos faſtu elatos punit vindex Jupiter. *Heraclid.* v. 389.
Animos perturbatos haud facile ſibi conſtare. *Medea.* v. 122.
Antigenes Medicus Chius. *Epiſtola* 2.
Antigone, Oedipi filia. *Phoeniſſ.* v. 58. Haemoni nuptui data. *ibid.* v. 1666. cum Oedipo, patre grandaevo, ultroneum exilium capit. *ibid.* v. 1738. *et* 1753.
Antigonae cum Paedagogo ſuo colloquium de Argivorum exercitu. *ibid.* v. 120.
Apertus inimicus facilius vincendus, quam ſimulatus. *Medea* v. 320.
Apollo e coelo pulſus. *Alceſt.* v. 8.
Apollo Oreſti maternae caedis auctor. *Oreſt.* v. 285. eidem vaticinatur. *ibid.* v. 1679.
Ara deorum, ſervorum aſylum. *Suppl.* v. 270.
ab Aris et ſacris impii et profani arcendi. *Ion* v. 1330.
Archelaus Rex mittit argentum Euripidi. *Epiſt.* 1.—illius gratia quoſdam ex carcere liberat. *Epiſt.* 3.—Euripidem humaniter excipit. *Epiſt.* 5.
Argivorum pugna cum Thebanis, et fuga. *Phoeniſſ.* v. 1173.
Argo navis. *Andromach.* v. 794. et 863. *Medea* v. 1, 2, etc.
ad Arma priuſquam veniatur, tentanda omnia. *ibid.* v. 700.
ex Aſpectu ſolo hominem non poſſe agnoſci. *Medea* v. 433.
Aſtus aſtu vacans haud convenit. *Iphig. Aul.* v. 1148.
Aſtu ſaepe plus, quam vi, effici. *Oreſt.* v. 712
Aſylum commune omnibus. *Heraclid.* v. 261.

Athenienſium clades. *Epicedium* in Argumento.

Athenienſium ſoli laus. *Erechtheus* n. 1. v. 5. et 14.

Athleticae vitae deſcriptio. *Autolycus* n. 3.

Atreus Thyeſti proprios filios mactatos in convivio proponit. *Oreſt.* v. 15.

Audacia juvenem decet. *Archelaus* n. 7. *Incerta* n. 51.

Audere juvat. *Teleph.* n. 21. *Temen.* n. 8.

Augur qualis ſit. *Iphig. in Aul.* v. 961.

Auri commendatio. *Andromed.* n. 16. *Omiſſ.* n. 1. et 36.

Aurum ſana mente homines excutere. *Herc. Fur.* v. 776.

B.

BACCHICIS ſacris non initiatos ſcire, nefas. *Bacch.* v. 472.

Beatus mortalium nemo. *Iphig. Aul.* v. 161. Ante obitum nemo dicendus. *Troad.* v. 514. Quis dicendus *Hippolyt.* v. 994. et *Iphig. Aul.* v. 17.

Beatum eſſe neminem, qui vitam in metu exigat. *Ion* v. 623.

Beatum et divitem omnia recte ſcire. *Heracl.* v. 750.

Beatis et felicibus pietatem eſſe colendam. *Ion* v. 1059.

Bellum fugiendum. *Troad.* v. 404.

Bellum multarum rerum magiſter. *Andromach.* v. 684.

in Bello afflictis hoſtibus corpus ſervare illaeſum, ſapientia ſumma. *Herc. Fur.* v. 199.

Bellica laude qui florent, dementes. *Helena* v. 1169.

Bene meritos de republica eſſe honorandos. *Hecuba* v. 306.

Bibendo qui non hilareſcit, nihil ſapere. *Bacchae* v. 167.

Bona invitis diis acquiſita non eſſe diuturna. *Ion* v. 390.

Bonis morientibus lugendum. *Alceſt.* v. 80.

Bonis ſemper dicendi occaſio. *Herc. Fur.* v. 235.

Bonos ab ignavis optimi Reip. malum. *Glaucus* n. 2.

Bonum ſcire, nec facere malum ingens. *Chryſipp.* n. 2.

Bonus, qui male facere poteſt impune nec facit. *Omiſſ.* n. 2.

Brutorum animalium etiam habenda ratio. *Hippolyt.* v. 110.

C.

CALAMITAS nulla ſola. *Oreſt.* v. 980. et *Troad.* v. 595.

Calamitates a Deo immiſſae aequo animo ferendae. *Phoen.* v. 385.

Calamitates hominum variae. *Ion* v. 393. Patienter ferendae. *Medea* v. 1027.

Calamitates ſuas celare Prudentis eſt. *Oedipus* n. 13. *Scyriae* n. 3.

e Calamitatibus eripere ſolius Dei. *Oreſt.* v. 1577.

Capaneus Jovis blaſphemator, fulmine necatur. *Phoen.* v. 1188.

Capaneus Thebas, invitis diis, ſe everſurum gloriatur. *ibid.* v. 185.

Caſſandra, Hecubae filia, Agamemnoni déſponſata. *Hecub.* v. 826.

Caſtitatis praemium. *Hippolyt. Opert.* fr. n. 18.

Cedro mortuos ponebant. *Alceſt.* v. 371.

Cephalus ab Aurora raptus. *Hippol.* v. 460.

Cherrhoneſi inſ. ſitus. Argum. *Hecubae.*

Chionides. *Epiſt.* 2.

Chryſothemis, Clytaemneſtrae filia. *Oreſt.* v. 23.

Ciſſeus, pater Hecubae. *Hecub.* v. 3.

Civibus decus egregium, cultu debito virum bonum proſequi. *Herc. Fur.* v. 1337.

Civis malus quis ſit. *Incerta* n. 32.

Civitas ſeditioſa non recte ſapit. *Herc. Fur.* v. 271.

Civitatem negligere, impium. *Heracl.* v. 108.

Coelum commune cunctis mortalibus. *Helena* v. 915.

in Coetus prodire, virginibus indecorum. *Oreſt.* v. 108.

Cognati et Amici quatenus defendendi et juvandi. *Oreſt.* v. 684.

Comeſſationem, pugnas, convicia et rixas parere. *Cycl.* v. 534.

Commiſerationem viris ſapientibus ineſſe. *Electr.* v. 296.

Concordia conjugalis, res dulciſſima. *Medea* v. 14.

in Congreſſibus conciliandorum quid cogitandum. *Phoen.* v. 467.

Conjugalis fides non frangenda. *Hippol.* v. 412.

ex Conjugali complexu magnam benevolentiam oriri. *Hecub.* v. 831.

Conjugis bonae eſt Maritis placere. *Incerta* n. 151. et 152.

Conjugium plus aloës, quam mellis, habet. *Alceſt.* v. 241.

Conjugis alterius ſtupratoribus quae mala eveniant. *Electr.* v. 926.

Connubia parva et caſta magnis praeſtantiora. *ibid.* v. 1105.

Conſanguineorum inimicitia plerumque graviſſima. *Phoeniſſ.* v. 388.

Conſcientia ſibi male conſcia ſaeviſſimus carnifex. *Oreſt.* v. 396.

Conſiliariorum multitudo non ſemper utilis. *Andromach.* v. 481.

Conſilium facilius damus, quam capimus. *Incerta.* n. 33.

Conſilium rectum et mens, vates optima. *Helena* v. 766.

Conſilio et prudentia ſenes fieri invenies. *Ion* v. 1055.

Conſilio plus, quam iracundia, effici. *Phoeniſſ.* v. 529.

Conſolari triſtes, amicorum officium. *Oreſt.* v. 300.

Conſolatio contra mortem filii. *Dictys* n. 14.

Conſolatio contra mortem optimae Uxoris. *Alceſt.* v. 421. etc.

Conſortium malum mulieribus perniciosum. *Andromach.* v. 952.

in Conſpectum eorum, quos quis laeſit, prodire, non eſt fortis animi. *Medea* v. 476.

Conſtantiae vox. *Syleus* n. 2. *Telephus* n. 16.

Contendentes ad dignitates apud prudentes et ſapientes eoſdem habere ſuae dignitatis aemulos. *Ion* v. 618.

Contentio cauſa multorum malorum. *Phoeniſſ.* v. 816.

Cor trepidans futurum praeſagire. *Bacchae* v. 1288.

Corrivales omnes ſuſpicaces. *Andromach.* v. 182.

Creon filium Menoeceum fugam, ne pro patria immoletur, capeſſere jubet. *Phoeniſſ.* v. 983.

Creon Oedipum terra Thebana ejicit. *Phoeniſſ.* v. 1619.

Creontis et Eteoclis conſultatio de debellandis Argivis Thebas obſidentibus. *ibid.* v. 742.

Creontis et Glaucae interitus miſerabilis. *Medea* v. 1232.

Creontis filia Iaſoni deſponſata. *ibid.* v. 18.

Creuſa, Erechthei filia. Argum. *Ion.* Ab Apolline gravida facta. *ibid.*

Curioſitas foeminas male decet. *Hippolyt.* v. 795.

D

DANAE nomen unde. *Danae* v. 20.

Danaus ex *Aegypto* in *Graeciam* venit. *Archelaus* n. 2.

Dantes exſpectant rurſus *Inc.* n. 134. *Peliades* n. 7.

Delicta impia a diis impunita non manere. *Hecub.* v. 1029.

Deus juſtitiae obſervans. *ibid.* v. 800;

